Ἰωαν. α. λε. λιν δὲ τοῦτο ὁ βαπτιστὴς δῆλον ἡμῖν ποιῶν, λέγων· Ὅτι ἐγὼ οὐκ ἤδειν αὐτὸν, ἀλλ' ἵνα φανερωθῇ τῷ Ἰσραὴλ, διὰ τοῦτο ἦλθον ἐν ὕδατι βαπτίζων. εἰ δὲ αὕτη ἰῶ μόνη ἡ αἰτία, πῶς φησιν ὁ Λουκᾶς, ὅτι ἦλθεν εἰς τὸν περίχωρον τοῦ Ἰορδάνου, κηρύσσων βάπτισμα μετανοίας εἰς ἄφεσιν ἁμαρτιῶν· καίτοιγε οὐκ εἶχεν ἄφεσιν, ἀλλὰ τοῦτο δὲ δῶρον τοῦ μυ ταῦτα δοθέν- 35
τος βαπτίσματος ἰῶ; ἐν τούτῳ γὰρ συναφθήμεν, καὶ ὁ παλαιὸς ἡμῶν ἄνθρωπος τότε συν-
ἐσταυρώθη, καὶ περὶ τοῦ σώματος τοῦ θανάτου φάνεται ἄφεσις ὅσα. πεπιστευμένος γὰρ τῷ αἵμα-
α. Κορ. ε. ια. τι αὐτοῦ τοῦτο λογίζεται. καὶ ὁ Παῦλος δέ φησιν· Ἀλλ' ἀπελούσασθε, ἀλλ' ἡγιάσθητε, οὐ διὰ τοῦ βαπτίσματος Ἰωάννου, ἀλλ' ἐν τῷ ὀνόματι τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, καὶ ἐν τῷ
Πραξ. ιθ. δ. πνεύματι τοῦ Θεοῦ ἡμῶν. καὶ πάλιν δέ φησιν· Ἰωάννης μὲν ἐκήρυξε βάπτισμα μετανοίας 40
(καὶ διὰ τοῦτο λέγω ἄφεσεως) ἵνα πιστεύσωσιν εἰς Ⓦ ἐρχόμενον μετ' αὐτόν. ὅτω γὰρ τῆς θυσίας προσενεχθείσης, καὶ τοῦ πνεύματος καταδυθέντος, καὶ τῆς ἁμαρτίας λυθείσης, καὶ τοῦ ἔρ-
γου αὐτῆς πληρωθέντος, καὶ τῆς κατάρας ἀφανισθείσης, πῶς ἔμελλεν ἄφεσις γίνεσθαι; ἢ οὖν διὰ τοῦτο, εἰς ἄφεσιν ἁμαρτιῶν; ἀγνώμονες ἦσαν Ⓦ Ἰουδαῖοι, καὶ τῶν οἰκείων οὐδέποτε ἠθάνον-

70

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

τὸ ἁμάρτημάτων, ἀλλὰ τοῖς ἐχάτοις ὄντες ἀνθρώποις κακοῖς, ἐδικαίωσε ἑαυτὸν πάντα-
χοῦ· ὅπερ αὐτὸν μάλιστα ἀπώλεσε καὶ τῆς πίστεως ἀπήγαγε. τοῦτο γοῦν καὶ ὁ Παῦλος ἐ-
κάλυψεν αὐτοῖς ἔλεγε· Ὅτι ἀγνοοῦντες τὴν τοῦ Θεοῦ δικαιοσύνην, καὶ τὴν ἰδίαν ζητοῦντες Rom. 1. γ.
στῆσαι, τῇ δικαιοσύνῃ τοῦ Θεοῦ οὐχ ὑπετάγησαν. καὶ πάλιν, Τί οὖν ἐροῦμεν; ὅτι ἔθνη τὰ μὴ Rom. 9. λ.
διώκοντα δικαιοσύνην, κατέλαβε δικαιοσύνην· Ἰσραὴλ δέ, διώκων νόμον δικαιοσύνης, εἰς
νόμον δικαιοσύνης οὐκ ἔφθασε; Διατί; ὅτι οὐκ ἐκ πίστεως, ἀλλ' ὡς ἐξ ἔργων. ἐπεὶ οὖν τοῦ-
το ἦν τὸ αἴτιον τῶν κακῶν, τοῦτο μάλιστα ἐκβάλλει ὁ Ἰωάννης, οὐδὲν ἕτερον ποιῶν, ἢ εἰς ἔννοιαν αὐτοὺς ἄγων
τῶν οἰκείων ἁμαρτημάτων. τοῦτο γοῦν καὶ ὁ ῥῆμα αὐτοῦ ἐδήλου, μετανοίας εἶ ὁμολο-
γήσεως ὄν· τοῦτο δὲ ὁ κήρυγμα ἐδείκνυ. οὐδὲν γὰρ ἄλλο ἔλεγεν, ἀλλ' ἢ, ὅτι ποιήσατε καρ-
ποὺς ἀξίους τῆς μετανοίας. ἐπεὶ οὖν ὁ μὴ καταγινώσκειν τῶν οἰκείων ἁμαρτημάτων, ὡς καὶ
ὁ Παῦλος ἐδήλωσεν, ἀποσκιρτᾷν αὐτοὺς ἐποίησε τοῦ Χριστοῦ· ὃ δὴ εἰς ἔννοιαν ἔρχεσθαι, εἰς
ὃπερ μάλιστα καθίστησι τοὺς Ⓦ λυτρωτοῦ βαπτίζεσθαι καὶ τῆς ἀφέσεως ἐπιθυμεῖν, τοῦτο ἦλθε
κατασκευάζων Ἰωάννης εἶ πείθων αὐτοὺς μετανοεῖν· καὶ ἵνα κολασθῶσιν, ἀλλ' ἵνα τῇ μετα-
νοίᾳ γνώμιμοι ταπεινότεροι, καὶ καταγνόντες ἑαυτῶν, εἰς τὸ λαβεῖν τὴν ἄφεσιν δράμωσιν. ὃ-
σα γοῦν πῶς αὐτὸ πέπεικεν ἀκριβῶς. εἰπὼν γάρ, ὅτι ἦλθε κηρύσσων βάπτισμα μετανοί-
ας ἐν τῇ ἐρήμῳ τῆς Ἰουδαίας, ἐπήγαγεν, εἰς ἄφεσιν· ὡσανεὶ ἔλεγε, διὰ τοῦτο αὐτοὺς ἔπειθον
ὁμολογεῖν εἶ μετανοεῖν ὅτι τοῖς ἁμαρτήμασιν· οὐχ ἵνα κολασθῶσιν, οὐδ' ἵνα βουκολώτερον τὴν
μετὰ ταῦτα ἄφεσιν δέξωνται. εἰ μὴ γὰρ κατέγνωσαν ἑαυτῶν, οὐκ ἂν οὐδὲ τὴν χάριν ᾐτή-
σαντο· μὴ ζητοῦντες δέ, οὐκ ἂν οὐδὲ τῆς ἀφέσεως ἔτυχον. ὥστε τοῦτο ἐκείνῳ προοδοποιεῖ
τὸ βάπτισμα. διὰ καὶ ἔλεγεν, ἵνα πιστεύσωσιν εἰς Ⓦ ἐρχόμενον μετ' αὐτόν, τουτέστι τῆς εἰρημένης
καὶ ταύτην ἑτέραν αἰτίαν λέγεις τοῦ βαπτίσματος. οὐδὲ γὰρ ἴσον ἦν προσελθεῖν τὰς οἰκίας, καὶ
προσιέναι Ⓦ Χριστὸν τῆς χειρὸς· λαβόμενον, καὶ λέγειν, εἰς τοῦτον πιστεύσατε, καὶ πάντων προ-
γινομένων καὶ ἀρχόντων τὴν μακαρίαν ἐκείνην ἐνεφάνιζον φωνὴν, καὶ τὰ ἄλλα ὅπιτελεσθῆ-
ναι ἄπαντα. διὰ τοῦτο ἔρχεται ὅτι τὸ βάπτισμα. καὶ γὰρ ἡ τοῦ βαπτίζοντος ἀπόλυψις, καὶ ἡ
τοῦ προσώπατος ἀποθέωσις, πᾶσι τὴν πόλιν εἶλκε, καὶ προὸς Ⓦ Ἰορδάνην ἐκάλει, εἶ θέα-
τρον ἐγίνετο μέγα. διὰ τοῦτο αὐτοὺς καὶ προγινομένους καταστέλλει, καὶ πείθει μηδὲν μέγα
περὶ ἑαυτῶν φαντάζεσθαι, δεικνὺς τῶν ἐχάτων ὄντας ἀνθρώπων κακῶν, εἰ μὴ μετανοή-
σαιεν, καὶ τοῦτο προηγόνως ἀφέντες καὶ ὃ ἐπ' ἐκείνοις ἀγαλλεσθαι, δέξων τὸ προγινόμενον. καὶ
γὰρ ἐνεφανίσατο τὰ χρῖσμα τοῦ Χριστοῦ τέως, καὶ ἐδόκει τεθνάναι προὸς πολλοὺς διὰ τὴν εἰς Βηθ-
λεὲμ γεγενημένην σφαγήν. εἰ γὰρ καὶ δώδεκα ἐτῶν γενόμενος ἀνέφηνεν ἑαυτὸν, ἀλλὰ
ταχέως καὶ ἐνεσκίασε πάλιν. διὰ δὴ τοῦτο λαμπρὸν ἔδει τὸν προοιμίων καὶ ὑψηλο-
τέρας ἀρχῆς. διὸ καὶ προῆλθε τότε, ἃ μηδέποτε ἤκουσαν Ἰουδαῖοι, μήτε προὸς προφήτου,
μήτε παρ' ἄλλου τινὸς, ἀνακηρύττει λαμπρᾷ τῇ φωνῇ, τὴν ὑπεροχὴν καὶ τῆς ἐκεῖ βασιλείας
μεμνημένος, * οὐδὲν προὸς τῆς γῆς λέγων λοιπόν. βασιλείαν δὲ ἐνταῦθα, τὴν παρουσίαν
αὐτοῦ τὴν τε προτέραν καὶ τὴν ἐκάστην λέγει. καὶ τί τοῦτο προὸς Ἰουδαίους, φησίν; οὐδὲ γὰρ
ἴσασι τί λέγεις. διὰ γὰρ τοῦτο ὅτω λέγω, φησίν, ἵνα ἀπὸ τῆς ἀσαφείας τῶν λεγομένων
διεγερθέντες, ἔλθωσιν εἰς ὃ ζητοῦσι τὸ κηρυττόμενον. ὅτω γοῦν αὐτοὺς ἐπῆρε τὸ χρηστὰς ἐλπίσι
προὸς ἀγομένους, ὡς καὶ τελώνας καὶ στρατιώτας πολλοὺς ἐρωτᾶν, τί δεῖ ποιεῖν, καὶ πῶς τὸν ἑαυτῶν
βίον οἰκονομῆσαι. ὅπερ ἦν σημεῖον καὶ τὸ βιωτικῶν λοιπὸν ἀπαλλάττεσθαι προθυμίᾳ, καὶ προὸς ἕτερα
μείζονα ὁρᾶν, καὶ τὰ μέλλοντα ὀνειροπολεῖν. καὶ γὰρ ἅπαντα αὐτοῦ, καὶ τὰ ὁρώμενα καὶ λεγόμενα,
εἰς ὑψηλὸν ἦτε φρόνημα. συνήσων γὰρ ἡλίκον ἦν ἰδεῖν ἄνθρωπον μὴ τεσσάκοντα ἔτη κατα-
σαίνοντα ἀπὸ τῆς ἐρήμου, ἀρχιερέως υἱὸν γεγενημένον, μηδὲν δεηθέντα τῶν ἀνθρωπίνων· πόθεν
τε, καὶ πόθεν ὄντα αἰδέσιμον, καὶ τὴν Ἡσαΐαν ἔχοντα μόνον· παρῆν γὰρ καὶ οὗτος ἀνακη-
ρύττων, καὶ λέγων· Οὗτός ἐστιν, ὃν προέσαλπε φωνὴ βοῶντος, καὶ κατὰ τὴν ἔρημον ἑτοιμάσατε τὴν φωνὴν κη-
ρύττοντα

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ρύπονται ἁπάντων. Τοσαύτη γὰρ ἀπουδὴ τοῖς προφήταις περὶ τῶν ἐλλείψεων τῶν πραγμάτων, ὡς μὴ τῶν διαπόντων τὴν ἑαυτῶν μόνον, ἀλλὰ καὶ τῶν μέλλοντα αὐτῷ ἀκολουθεῖσθαι ὀκ πολλοῦ προδιακηρύττειν τὸ χρόνο· καὶ μὴ μόνον αὐτὸ λέγειν, ἀλλὰ καὶ τὸν τόπον, ἐν ᾧ διδασκαλεῖσθαι ἔμελλε, καὶ τὸν τοῦ κηρύγματος τρόπον, ὃν διδάξαι τοὺς ἀκροωμένους εἶχε, καὶ τὸ ἀπ' αὐτοῦ συμβαῖνον κατόρθωμα. ὅρα γάρ πῶς ἐπ' αὐτῶν ἔρχονται τῶν νοημάτων, εἰ καὶ μὴ ἐπ' αὐτῶν τῶν ῥημάτων, ὅ τε προφήτης, καὶ ὁ βαπτιστής. ὁ μὲν γὰρ προφήτης φησὶν, ὅτι πρᾶξαι λέγων,

3 Ετοιμάσατε τὴν ὁδὸν Κυρίου, εὐθείας ποιῆτε τὰς τρίβους αὐτοῦ.

Ησ μ. γ. Αὐτὸς δὲ ὁ προδιακηρύκτης ἔλεγε· Ποιήσατε καρποὺς ἀξίους τῆς μετανοίας, ὅπερ ἴσον ἐστὶ τῷ, ἑτοιμάσατε τὴν ὁδὸν Κυρίου. ὁρᾷς ὅτι καὶ δι' ὧν ὁ προφήτης εἶπε, καὶ δι' ὧν αὐτὸς ἐκήρυττεν, ἓν τοῦτο δηλοῦται μόνον, ὅτι προοδοποιῶν παρεγίνετο καὶ προετοιμάζων, ἵνα τὴν διαρρεῦσαν χαλεπὸν ὄχλος, ὅπερ ἦν ἡ ἄφεσις, ἀλλὰ προδιασκευάζων τὰς ψυχὰς τῶν μελλόντων δέχεσθαι τὸν τῶν ὅλων Θεόν. ὁ δὲ Λουκᾶς καὶ πλέον τί φησιν. ἵνα γὰρ τὸ προοίμιον εἴπωμεν, Ησ. μ. δ. ἀπηλλάγη, ἀλλὰ καὶ πᾶσαν τίθησι τὴν προφητείαν. Πᾶσα γὰρ φάραγξ, φησὶ, πληρωθήσεται, καὶ πᾶν ὄρος καὶ βουνὸς ταπεινωθήσεται· καὶ ἔσται τὰ σκολιὰ εἰς εὐθείαν, καὶ αἱ τραχεῖαι εἰς ὁδοὺς λείας, καὶ ὄψεται πᾶσα σὰρξ τὸ σωτήριον τοῦ Θεοῦ. Εἶδες πῶς προλαβὼν ὁ προφήτης πάντα εἶπε, καὶ τὴν τοῦ δήμου ζωοτροφίαν, καὶ τὴν τῶν πραγμάτων ὅπερ βέλτιον μεταβολὴν, καὶ τὴν τοῦ κηρύγματος εὐκολίαν, καὶ τὴν αἰτίαν τῶν ἡμαρτημένων ἀπάντων, εἰ καὶ ἐπικώτερον ταῦτα τέθεικε. καὶ γὰρ ἐν τῇ προφητείᾳ τὸ λεγόμενον. ὅταν γὰρ εἴπῃ, πᾶσα φάραγξ πληρωθήσεται, καὶ πᾶν ὄρος καὶ βουνὸς ταπεινωθήσεται, καὶ ἔσονται αἱ τραχεῖαι εἰς ὁδοὺς λείας, καὶ τοὺς ταπεινοὺς ὑψουμένους δείκνυσι, καὶ τοὺς ἀπονενοημένους ταπεινουμένους, καὶ τὴν τοῦ νόμου δυσκολίαν εἰς εὐκολίαν πίστεως μεταδημουμένην. οὐκ ἔστι γὰρ ἱδρῶτες καὶ πόνοι, φησὶν, ἀλλὰ χάρις καὶ συγχώρησις ἁμαρτημάτων, πολλὴν προέχουσα τῆς σωτηρίας τὴν εὐκολίαν. Εἶτα τὸ αἴτιον τούτων τίθησι, λέγων· ὅτι ὄψεται πᾶσα σὰρξ τὸ σωτήριον τοῦ Θεοῦ. οὐκ ἐπὶ Ιουδαίοις καὶ προσηλύτοις μόνον, ἀλλὰ καὶ πᾶσα γῆ καὶ θάλασσα, καὶ ὅλη τῶν ἀνθρώπων ἡ φύσις. Διὰ γὰρ τῶν σκολιῶν, πλάνας καὶ διεφθαρμένον βίον ἠνίξατο, τελώνας, καὶ πόρνους, καὶ ληστάς, καὶ μάγους, οἵτινες ὄντες διεστραμμένοι πρότερον, Ματθ. κα. λα. τὴν ὀρθὴν ὕστερον ἐβάδισαν ὁδόν· ὅπερ οὖν καὶ αὐτὸς ἔλεγεν, Οτι τελῶναι καὶ πόρναι προάγουσιν ὑμᾶς εἰς τὴν βασιλείαν τοῦ Θεοῦ, ὅτι ἐπίστευσαν. καὶ δι' ἑτέρων δὲ ἐδήλωσε ῥημάτων ὁ προφήτης πάλιν τὸ αὐτὸ τοῦτο, οὕτω λέγων· Τότε λύκοι καὶ ἄρνες ἅμα βοσκηθήσονται. Ησ. ξε. κε. ὥσπερ γὰρ ἐνταῦθα ὀξὺ τῶν βοσκημάτων καὶ φαύλων, τὸ αἰνιγματῶδες ἦθος εἰς μίαν φιλοσοφίας ἰσότητα κίρναθαι ἔφησεν· οὕτω καὶ ἐκεῖ τοῖς τῶν ἀλόγων ἤθεσι τοὺς διαφόρους τῶν ἀνθρώπων ἐμφαίνων τρόπους, πάλιν εἰς μίαν αὐτοὺς εὐσεβείας συμφωνίαν ζωοτροφεῖσθαι ἔλεγε· καὶ ἐκεῖ πάλιν τὸ αἰτίαν τίθεις· αὐτὸ δέ ἐστιν. Εσαι γάρ, φησὶν, ὁ ἀνίσταμενος ἄρχειν ἐθνῶν, καὶ ἐπ' αὐτῷ ἔθνη ἐλπιοῦσιν· ὅπερ οὖν καὶ ἐνταῦθα ἔλεγεν, ὅτι ὄψεται πᾶσα σὰρξ τὸ σωτήριον τοῦ Θεοῦ· πανταχοῦ δηλῶν ὅτι πρὸς τὰ πράγματα τῆς οἰκουμένης χωρήσεται τῶν εὐαγγελίων τούτων ἡ δύναμις καὶ ἡ γνῶσις, ἀπὸ θηριώδους τρόπου καὶ σκληροτέρας γνώμης εἰς ἡμερότητα πολλὴν καὶ ἀπαλότητα μεταβάλλουσα τῶν ἀνθρώπων τὸ ἦθος. Ματθ. ια. ι. χρ. ἀπλότ. χρ. αὐτῆς

4 Αὐτὸς δὲ ὁ Ιωάννης εἶχε τὸ ἔνδυμα αὐτοῦ ἀπὸ τριχῶν καμήλου, καὶ ζώνην δερματίνην περὶ τὴν ὀσφὺν αὐτοῦ. Εἶδες πῶς τὰ μὲν τῶν προφητῶν παρῆκται, τὰ δὲ τοῖς εὐαγγελισταῖς κατέλιπεν; ὅπερ καὶ ὁ Ματθαῖος καὶ τὰς προφητείας λύσῃ, καὶ τὰ περὶ ἑαυτοῦ παρεισάγῃ, ὅπερ τοῦτο πρότερον ἠρεύνησεν εἰ, τὸ περὶ τῆς στολῆς εἰπεῖν τοῦ δικαίου. καὶ γὰρ ἐν θαυμαστῷ καὶ τοῦτο τῶν προδόξων ἐν ἀνθρώπῳ σώματι τοσαύτην καρτερίαν ἰδεῖν· ὃ δὴ καὶ τοὺς Ιουδαίους μᾶλλον ἐφείλκετο, τὸν μέγαν Ηλίαν ἐν αὐτῷ βλέποντας, καὶ πρὸς τὴν

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

τὴν τῦ μακαρίου μνήμην ἐκείνου ἀπολαμπρύνοις ἐκ τῶν ὁρωμένων τότε· μᾶλλον δὲ καὶ τοὺς πλείονα ἐκπλήξιν. ἐκεῖνος μὲν γὰρ ἐν πόλεσι, καὶ ἐν οἰκίαις ἐτρέφετο, οὗτος δὲ ὅλου τὴν ἔρημον ᾤκησεν ἐκ ἀπαραγμῶν αὐτῶν. ἔδει γὰρ Ⓦ τοῦ δρόμου τὸ μέλλοντος τὰ παλαιὰ λύειν ἅπαντα (οἷς, Ⓦ πόνου, τὴν κατέφαν, τὴν λύπην, Ⓦ ἱδρῶτα) ἔχειν ἡμᾶς καὶ αὐτὸν σύμβολα τῆς τοιαύτης δωρεᾶς, καὶ μώτερον ἡγεῖσθαι λοιπὸν τῆς καταδίκης ἐκείνης. ὅτε γὰρ ἔφαγον, ἤρεσεν, ὅτε ἀύλακα ἔτεμον, οὐκ ἐν ἱδρῶτι τοῦ προσώπου Ⓦ ἄρτον ἔφαγον, ἀλλ' ἐν ἐκδιασμένῃ αὐτῷ ἡ τράπεζα, καὶ εὐκολωτέρα τῆς τραπέζης ἡ βολή, ἢ ἀπεραγμονεστέρα τῆς βολῆς ἡ οἴκησις. ὅτε γὰρ στέγης, ὅτε κλίνης, ὅτε τραπέζης, ὅτε ἄλλου τινὸς τούτων ἐδεήθη· ἀλλὰ ἀγγελικὸν ἦν βίον ἐν τῇ σαρκὶ ταύτῃ ἐπιδείκνυσθαι. διὰ τοῦτο δὲ τείχινον ἱμάτιον αὐτῷ ἦν, ἵνα διὰ τοῦ ἡμάτος παιδεύσῃ τοὺς ἀνθρώπους ἀφίσασθαι, καὶ μηδὲν καινὸν ἔχειν πρὸς τὸν γάμον, ἀλλ' ὅτι τὸ πρότερον ἐπιμανθάνειν ἐγκρατέχθη, ἐν ᾗ ἦν πρὶν ἢ δενδρίων ἱματίων καὶ βολῆς ὁ Αδάμ. οὕτω καὶ βασιλείας καὶ μετουσίας εἶχε σύμβολα τὸ ἡμα ἐκεῖνο. καὶ μή μοι λέγε, πόθεν αὐτῷ τείχινον ἱμάτιον ἢ ζώνη, ἢ ἔρημον οἰκουμένῃ; εἰ γὰρ τοῦτο μέλλοις διαπορεῖν, καὶ ἕτερα πλείονα ζητήσεις· πῶς ἐν τοῖς χειμῶσι, πῶς ἐν τοῖς καύμασι διέτελεν ὅτι τῆς ἐρημίας, καὶ ταῦτα ἐν ἀπαλῷ σώματι καὶ ἀώρῳ ἡλικίᾳ· πῶς ἤρκεσεν ἡ τῆς παιδικῆς σαρκὸς φύσις δύο μαλίᾳ ἀέρων τοσαύτη, καὶ τραπέζῃ ὅπως διαλλαγμένῃ, καὶ τῇ ἄλλῃ τῇ ἀπὸ τῆς ἐρημίας ταλαιπωρίᾳ. πολλοὶ νῦν εἰσιν Ⓐ τῶν Ελλήνων φιλόσοφοι, Ⓐ εἰκῇ καὶ μάτην τὴν Κυνικὴν αἰσχυνόμενοι ζηλῶσαι; τί γὰρ ὄφελος τοῦ καταλείπεσθαι ἐν πίθῳ, καὶ τοιαῦτα ἀσελγαίνειν ὕστερον; οἱ καὶ δακτυλίοις, καὶ φιάλαις, καὶ θεραπόντων, καὶ θεραπαινίδων, καὶ πολλῇ ἄλλῃ περιεβάλοντο φαντασίᾳ, εἰς ἑκατέραν ἀμετείαν ἐκπίπτοντες. ἀλλ' οὐχ' οὗτος τοιοῦτος· ἀλλ' ὥσπερ Ⓦ θερινόν, τὴν ἔρημον ᾤκησε, πᾶσαν ἀκριβῆ φιλοσοφίαν ἐπιδεικνύμενος, καὶ κήρυξεν, ὡς ἄγγελός τις ὢν θερινός, ὅτι τὰς πόλεις κατέβαινεν, ἀθλητὴς εὐσεβείας ὤν, καὶ τῆς οἰκουμένης στεφανίτης, καὶ φιλόσοφος τῆς τῶν θερινῶν ἀξίας φιλοσοφίας. καὶ ταῦτα ἵνα, ὅπως τῆς ἁμαρτίας λυθείσης, ὅπως τοῦ νόμου παυσαμένου, ὅπως τοῦ θανάτου δεθέντος, οὕτως τὰς χαλκᾶς πύλας καταλλαγείσας, ἀλλ' ἔτι τῆς παλαιᾶς κρατούσης πολιτείας. τοιοῦτόν ἐστι γυμνάσια ψυχῆς καὶ διεγηγερμένη. καὶ γὰρ πάντα χοῦ πεδάᾳ, καὶ τὰ κείμενα ὑπαρβαίνει σκάμμαθα· καθάπερ καὶ ὁ Παῦλος ὅτι τῆς κοινῆς ἐποίει πολιτείας. ἀλλά τίνος ἕνεκεν, φησι, καὶ ζώνη μὴ τὰ ἱματίου ἐχρήσατο; ἆρα τοῦτο τοῖς παλαιοῖς ἦν, ἢ νῦν εἰς δὲ μᾶλλον τοῦτο καὶ διαφέρειν ἐγκώμιον εἶναί φησιν ὁ Χριστὸς, ὥστε λέγων· Τί ἐξήλθετε ἰδεῖν; ἄνθρωπον ἐν μαλακοῖς ἱματίοις ἠμφιεσμένον; ἰδού, Ⓐ τὰ μαλακὰ φορεῖτε, ἐν τοῖς οἴκοις τῶν βασιλέων εἰσίν. εἰ δὲ ἔκδυσος ὁ καθαρὸς ὥν, καὶ τοῦ οὐρανοῦ λαμπρότερος ὤν, καὶ ὑπερφυοῦς φιλοσοφίας πλήρης, καὶ ἃ μείζων σοφὸς ἐλέγετο, καὶ περιουσίαν ἔχων τοσαύτην, ὥστε ἑαυτὸν ἐσκληραγώγει, τὴν μὲν ἁμαρτίαν φυγαδεύων ἀπιμάζων μὴ πολλῆς τῆς περιουσίας, ὅτι Ⓦ σκληρὸν τοῦτον ἀγῶνα βίον ἑαυτὸν, ἵνα ἐξόμεθα ἀπολαύσωμεν Ⓐ μὴ τοσαύτην ἐνεργασίαν καὶ τὰ μύρια φορτία τῆς ἁμαρτίας, μηδὲ τὸ πολλοστὸν μέρος τῆς ἐξομολογήσεως ἐπιδεικνύμενοι τῆς ἐκείνου, ἀλλὰ μεθύοντες καὶ μαστιζόμενοι καὶ μύρων ὀζοντες, καὶ τῶν ἐν τῇ σκιᾷ πορευομένων γυμνασίων οὐδὲν ἀμείνονα ἐπιδεικνύμενοι, ἐκ πάντα χοῦν ἑαυτοὺς καταμαλακίζοντες, ἐκ δὲ χειρώτερος τοῦ διαβόλου ποιοῦντες;

Λευκ. ζ. κδ. κε.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

5 Τότε ἐξεπορεύετο πρὸς αὐτὸν πᾶσα ἡ Ἰουδαία καὶ Ἱεροσόλυμα, καὶ πᾶσα ἡ περίχωρος τοῦ Ἰορδάνου,

6 Καὶ ἐβαπτίζοντο ἐν τῷ Ἰορδάνῃ ὑπ' αὐτοῦ, ἐξομολογούμενοι τὰς ἁμαρτίας αὐτῶν.

Ὁρᾷς πόσον ἴσχυσεν ἡ παῤῥησία τοῦ προφήτου; πῶς πάντα ⟨ν⟩ δῆμον ἀνέπεισε; πῶς αὐτοῦ εἰς ἔννοιαν ἤγαγε τῶν οἰκείων ἁμαρτημάτων; καὶ γὰρ θαύματος ἄξιον καὶ ἰδεῖν ἐν ἀνθρωπίνῳ σχήματι τοιαῦτα ὁπλοδεικνύμενον αὐτὸν καὶ τοσαύτῃ κεχρημένον τῇ παῤῥησίᾳ, καὶ πρώτων, ὡς παίδων, καὶ ἐξανιστάμενον, καὶ πολλοὺς ἀπὸ τοῦ προσώπου τοῦ χάους ἔχοντα ἀποπλέμπουσαν. Συνετέλει δὲ εἰς ἔκπληξιν, καὶ ὁ δηλονότι πολλοῦ τοῦ χρόνου προφήτου φανέντος (καὶ γὰρ ἐνέλιπεν αὐτοὺς ὁ χαρισμα, καὶ δηλονότι μακροῦ προὼν αὐτοὺς ἐπεποίηθει τοῦ χρόνου) καὶ ὁ τοῦ κηρύγματος ὁ ζῆλος, ξένος καὶ παρηλλαγμένος. Οὐδὲν γὰρ τῶν Συνήθων ἦκουον, οἷς, πολέμους καὶ μάχας, καὶ νίκας ἢ κάτω, καὶ λιμοὺς καὶ λοιμούς, καὶ *Βαβυλωνίους, ἢ Πέρσας, καὶ πόλεως ἅλωσιν, καὶ τἆλλα τὰ Συνήθη· ἀλλ' ἀφανὴς καὶ τοῦ ὄντος βασιλείαν, καὶ τὸ ἐν τῇ γεέννῃ κόλασιν. δηλονότι παῦτα, καὶ τῶν κατὰ τὸν ἔρημον ἀποστάντων σφαγὴν πρώτων τοῦ πολλοῦ τοῦ χρόνου, τῶν μετὰ Ἰούδα καὶ Θευδᾶ, οὐκ ἐγγύονθ' οἰκειότεροι οὗτοι πρὸς τὴν ἔξοδον τὴν ὄντως. Οὐδὲ γὰρ ὅτι τοῖς αὐτοῦ ὄνομα ἐκάλει, οἷς, ὅτι τυραννίδι καὶ ἀποστασίᾳ, καὶ νεωτεροποιίᾳ· ἀλλ' ὥστε πρὸς τὴν ἄνω χειραγωγῆσαι βασιλείαν. δηλονότι οὐδὲ κατεῖχεν ἐν τῇ ἐρήμῳ μόνῃ ἑαυτῷ προσφέρων· ἀλλὰ βαπτίζων, καὶ οὐ προφιλοσοφίας παιδεύων λόγοις, ἀπέλυε· διὰ πάντων αὐτοὺς διδάσκων, τῶν μὲν ἐν τῇ γῇ πάντων ὑπεροράν, προὸς δὲ τὰ μέλλοντα αἱρεῖσθαι, καὶ καθ' ἑκάστην ἐπείγεσθαι τὴν ἡμέραν.

ΗΘΙΚΟΝ Τοῦτον δὴ καὶ ἡμεῖς ζηλώσωμεν, καὶ τὰς τρυφὰς καὶ τὴν μέθην ἀφέντες, ὅτι ⟨ν⟩ "Σὺν ἐσταλμένον μεταθώμεθα βίον. καὶ γὰρ ἐξομολογήσεως ὁ καιρὸς, καὶ τοῖς ἀμυήτοις καὶ τοῖς βαπτισθεῖσι· τοῖς μὲν, ἵνα μετανοήσαντες, τῶν ἱερῶν τύχωσι μυστηρίων, τοῖς δὲ, ἵνα ἀποπλάμενοι ἐν τῷ βαπτίσματι τὰς κηλῖδας, καθαρῷ Συνειδότι τῇ τραπέζῃ προσέλθωσιν. ἀποστῶμεν τοίνυν τοῦ ὑγροῦ τούτου καὶ ἁλμυρὸν βίου. ὃ γάρ ἐστιν, οὐκ ἔστιν ὁμοῦ καὶ ἐξομολογεῖσθαι καὶ τρυφᾶν. καὶ ταῦτα διδασκέτω ὑμᾶς ὁ Ἰωάννης, ἀπὸ δὲ ἐνδύματος, ἀπὸ τῆς τροφῆς, ἀπὸ τῆς οἰκίας. τί οὖν; ὅτω κελεύεις ἡμᾶς καταῤῥάθυμον εἶναι, φησίν; ὃ κελεύω, ἀλλὰ συμβουλεύω καὶ παραινῶ. Εἰ δὲ μὴ δυνατὸν ὑμῖν τοῦτο, κἂν ἐν ταῖς πόλεσιν ὦμεν ὁπλοδεικνύμενοι τὴν μετάνοιαν. καὶ γὰρ ὅτι θύραθεν ὁ δικαστήριον. Εἰ δὲ καὶ μακροτέρω ἴωμεν, οὐδὲν ὅτω θαῤῥεῖν ἔοικε. τὸ γὰρ ἐκάστου πέρας τῆς ζωῆς, τῆς σωτηρίας ἐπέχει δύναμιν παρὰ καλοῦντος. ὅθεν δὲ καὶ ὅτι θύραθεν, ἄκουσον τοῦ Παύλου λέγοντος· Ἡ νὺξ προέκοψεν, ἡ δὲ ἡμέρα ἤγγικε. καὶ πάλιν· Ἥξει γὰρ ὁ ἐρχόμενος, καὶ οὐ χρονιεῖ. Ὅταν γὰρ σημεῖα λοιπὸν ἀπόρρησις, ταῦτα καλοῦντα τὴν ἡμέραν ἐκείνην. Κηρυχθήσεται γάρ, φησι, τοῦτο τὸ εὐαγγέλιον τῆς βασιλείας ἐν ὅλῳ τῷ κόσμῳ εἰς μαρτύριον πᾶσι τοῖς ἔθνεσι, καὶ τότε ἥξει τὸ τέλος. προσέχετε μὴ ἀκριβείας τοῦ λεγομένου. οὐκ εἶπεν, ὅταν πιστευθῇ πρὸς πάντων ἀνθρώπων, ἀλλ' ὅταν κηρυχθῇ πρὸς πᾶσι. δηλονότι τοῦτο ὅ ἐλεγον, εἰς μαρτύριον * τοῖς ἔθνεσι· δείκνυσι, ὅτι οὐκ ἀναμένει πιστεῦσαι πάντας, ὅ τότε πρόσεισι. τὸ γὰρ εἰς μαρτύριον, τοῦτο ἐστιν, εἰς κατηγορίαν, εἰς ἔλεγχον, εἰς κατάκρισιν τῶν μὴ πιστευσάντων. ἀλλ' ἡμεῖς ταῦτα ἀκούοντες καὶ ὁρῶντες, καθεύδομεν καὶ ὀνείρατα βλέπομεν, καθάπερ ἐν βαθυτάτῃ νυκτὶ, μεθῃ κεκραιπαλωμένοι. οὐδὲν γὰρ ὀνειράτων ἀμεινον τὰ παρόντα πράγματα, κἂν χρησά ᾖ, κἂν λυπηρά. δηλονότι δὴ πρόσεισι καὶ λοιπὸν ἀφυπνιωθῆναι, καὶ πρὸς ⟨ν⟩ ἥλιον τῆς δικαιοσύνης ἀποβλέψαι. ὃ δεῖς γὰρ καθεύδων ἥλιον ἰδεῖν δυνατὸν, οὐδὲ "ὑφορᾶναι τὰς ὄψεις τοῦ κάλλους τῆς ἀκτῖνος· ἀλλ' ἄφαρ ἀνίδῃ, πτήξας ὡς ἐν ὀνείρῳ βλέπει. δηλονότι τοῦτο πολλῆς ἡμῖν δεῖ τῆς ὁμολογήσεως καὶ πολλῶν τῶν δακρύων, καὶ ὅτι ἀνάγκης ἔχειλλα πλημμελοῦντες, καὶ ὅτι μεγάλα καὶ ἁμαρτήματα καὶ συνηθείας μείζονα. καὶ ὅτι ὁ ψευδόμενος, μάρτυρες ⟨ν⟩ πλείους τῶν ἀκουόντων.

Ρω. ιγ. ιβ. Εβ. ι. λζ.

Ματθ. κδ. ιδ.

* πᾶσι

γρ. καταν. μόνον

γρ. ὑφορᾶν

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ἀκούοντων. ἀλλ' ὅμως εἰ δὲ συνιῶμεν μείζονα, μετεμοήσωμεν, καὶ φεύγων ἀπολαυσόμεθα.
μ. μείζονα. μετεμοίαν ὃ λέγω, ὑ δὲ τῶν πρεσβυτέρων ἀπος ἰῶμαι κακὸν μόνον, ἀλλὰ καὶ δ" ἀμεινον, ὑπο-
δείξαθαι καλά. ποιήσατε γὰρ, φησι, καρποὺς ἀξίους τῆς μετεμοίας. πῶς ὃ ποιήσω-
μεν; ἀῦ γὰ ἐναντία πρεσβύτερον. οἷον τι λέγω· ἥρπασας γὰ ἀλλότρια; δὸς καὶ γὰ σὰ λοι-
5 πόν. πολιὰ ἐπόρνευσας χρόνον; ἀπόσχου καὶ τῆς γναικὸς τῆς σῆς ὠρισμένης ἡμέρας, ἄσκη-
σον ἐγκράτειαν. ὕβρισας καὶ ἐτύπησας παιδίσκας; βούλησαι λοιπὸν τοὺς ὑβρίζοντας, καὶ βύεργέ-
τει τοὺς πλήττοντας. ὑ γὰρ ἔρχεῖ εἰς ὑγείαν ἡμῖν ὃ βέλος ἔξελεῖν μόνον, ἀλλὰ δεῖ καὶ
τὰ τραύματι φάρμακα ἐπιθεῖναι. ἐτεύφησας καὶ ἐμεθύσθης Ⓦ ἔμπροσθεν χρόνου; νή-
κ. ὑδροποσία πευσον χε, ἵνα φ μ. ὕσι
φεν καὶ" ὕδροποτει· πρόσεχε, ἵνα τῷ ἐκεῖθεν ἐγκινομένῳ λύμῳ ἀνέλης. εἶδες ἀκολά-
10 σοις ὀφθαλμοῖς κάλλος ἀλλότριον; μηδὲ ὅλως ἴδῃς γναῖκα λοιπὸν, ἵν" ὦ πλείονι κα-
ταξῆς ἀσφαλείᾳ. Εκκλινον γὰρ, φησιν, ἀπὸ κακοῦ, καὶ ποίησον ἀγαθόν. καὶ πάλιν, Παῦ- Ψλγ.λε.κη.
* τῦ σον τῷ γλώσσῃ σε ἀπὸ κακοῦ, καὶ χείλη σε * μὴ λαλῆσαι δόλον. ἀῃ εἶπέ μοι καὶ ὃ Ψλγ.λγ.ιγ.
ἀγαθόν. Ζήτησον εἰρήνην, καὶ δίωξον αὐτήν· ὑ τῷ πρὸς ἀῦθρώπους λέγω μόνον, ἀλλὰ Ψλγ.λγ.ιε.
καὶ τῷ πρὸς Ⓦ Θεόν. καὶ καλῶς εἶπε, δίωξον. ἀπελήλαται γὰρ καὶ ἐκβέβληται, καὶ τῇ
κ. ἐπαδί- κ. δωωσόμθα γλῶ ἀφῆσα, εἰς τ' ἀρχαῖον" ἀπεδήμησεν. ἀῃ" δωσόμθα πάλιν αὐτῷ ἐπάγειν,
15 ἐὰν θέλωμεν, ἀπόνοιαν καὶ ἀλαζονείαν δ πάντα γὰ κωλύματα αὐτῆς ἐκβαλόντες, τὸν
σώφρονα τῦτον καὶ λιτὸν διώκειν βίον. ὀδὲν γὰρ ὀργῆς χαλεπώτερον καὶ θρασύτητος. αὕτη
γὰρ καὶ τετυφωμένους καὶ δουλωπρεπεῖς ἐργάζεται, δι' ἐκείνου μὲ καταγελᾶσοις, ἀφ' τύ-
κ. ἀκολουθίαν. τῳ ὃ μισητοὺς ποιοῦσα, καὶ ἐναντίας εἰσάγουσα κακίας, ἀπόνοιάν τε ὁμοῦ καὶ" κολακείαν.
20 ἀλλ' ἐὰν τῷ πλεονεξίαν τ' ἄλλοις ἐκνικῶμεν, καὶ ταπεινοὶ μὲ ἀκριβείας, καὶ ὑψηλοὶ
μὲ ἀσφαλείας ἐσόμθα. καὶ γὰρ καὶ ἐν τοῖς σώμασι τοῖς ἡμετέροις ἀπὸ πλεονεξίας αἱ
δυσκρασίαι γίνονται· καὶ ὅτε τοὺς οἰκείους ὅρους ἀφέντα τὰ στοιχεῖα εἰς ἀμετρίαν ἐξέλθῃ,
τότε αἱ μυελίαι νόσοι δ χαλεποὶ πίκλον) θάνατοι· ὅθεν δ ὅτι τῆς ψυχῆς συμβαίνον ἴδοι
κ. πίπτοντες ρις ἄν. ἐκεκόψωμεν τοίνυν τῷ ἀμετρίᾳ, καὶ τὸ σωτήριον τῆς συμμετρίας" πίπτες φάρ-
25 μακον, μάθωμεν ὅτι τῆς βύκρασίας τῆς σωματικῆς, καὶ ταῖς εὐχαῖς μὲ ἀκριβείας προσ-
έχωμεν. κἂν μὴ λάβωμεν, προσμείνωμεν ἵνα λάβωμεν· κἂν λάβωμεν, ὅπῳ ἐλάβομεν,
μὴ ἀποχῶμεν. ὀδὲν γὰρ αὐτὸς βούλεται ἀναβάλλεσθαι τῷ δόσιν, ἀλλὰ τῇ μνήσει τῷ
προσεδρίᾳ ἡμῶν σοφίζε). ἀφ' τῦτο καὶ ἐκαρτίθεται τῷ αἴτησιν, δ πειρασμὸν συγ-
χωρῆς πολλάκις ἐπελθεῖν, ἵνα ζωηχῶς πρὸς αὐτὸν καταφεύγωμεν, καὶ καταφεύγοντες μέ-
30 νωμεν. ὅτω καὶ πατέρες φιλόστοργοι ποιοῦσι, καὶ μητέρες φιλόπαιδες. ἐπειδὴ γὰ ἴδωσι τὰ
παιδία τῷ πρὸς αὐτοὺς ζωοποιοῦντα ἀφέντα, δ μὲ τῶν ἐμπλίκων παίζοντα, πολλὰ τοὺς
οἰκέτας ὑποκρίνασθαι προσκυλίοις φοβερὰ, ὥστε ὑπὸ τῦ δέους καταφυγὴν καθῶναι
πρὸς Ⓦ μητρικὸν κόλπον καταφυγεῖν. ὅτω καὶ ὁ Θεὸς ἀναλείνε) πολλάκις ἀπειλῶν,
ὐχ ἵνα ἐπαγάγῃ, ἀλλ' ἵνα πρὸς αὐτὸν ἐφελκύσῃ). ὅταν γοῦν ἐπανέλθωμεν πρὸς αὐτὸν,
35 λύει Ⓦ φόβον εὐθέως· ὡς εἴτε ὅμοιοι ἦμεν ἐν πειρασμοῖς καὶ ἐν αἰσθήσει, ὐδ' ἂν ἐδέησε πειρασ-
κ. πειρασμῦς μῦ. καὶ τί λέγω" πρὸ ἡμῦ; καὶ γὰρ τοῖς ἁγίοις ἐκείνοις πολὺς ἐπῆλθεν ὁ σωφρονισμὸς ἰῶ.
ἀφ' τῦτο καὶ ὁ προφήτης λέγει· Ἀγαθόν μοι ὅτι ἐταπείνωσάς με. καὶ αὐτὸς δ τοῖς ἀποστό- Ψλγ.ρκα. ιωαν. κ.λγ.
λοις ἔλεγε· Εν τῷ κόσμῳ θλῖψιν ἕξετε. καὶ ὁ Παῦλος τῦτο αὐτὸ αἰνίτε), ὅταν λέγῃ· Ε- β.κορ.ιβ.ζ.
δόθη μοι σκόλοψ τῇ σαρκὶ, ἄγγελος Σατᾶ, ἵνα με κολαφίζῃ. ἀφ' δ δεηθεὶς ἀπαλλαγῆναι
κ. ἐγκίνδυνα. τῦ πειρασμοῦ, ὐκ ἐπέτυχε, ἀφ' δ πολλῷ ὄξ αὐτῦ τῷ ὠφέλιμον" ὑπεγίνετο. ἐὰν δ
καὶ τῦ Δαβὶδ τὸν βίον ἐπέλθωμεν ἅπαντα, εὑρήσομεν αὐτὸν ἐν τοῖς κινδυνώδεσι λαμπρότε-
ρον ὄντα, καὶ αὐτὸν, καὶ τοὺς ἄλλους ἅπαντας τοὺς καθ' ἑαυτόν. καὶ γὰ ὁ Ιωὴλ τότε μεί-
ζονος ἔλαμψε, καὶ ὁ Ιωσὴφ ὅτως ὅτε πλέον εὐδοκίμησε, καὶ ὁ Ιακὼβ δ, καὶ ὁ τῦτο πατὴρ,
καὶ ὁ ἐκείνου, καὶ πάντες, ὅσοι πώποτε ἔλαμψαν καὶ λαμπρότεροι ἀνεδήσαντο στεφά-

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Σειρ.β.β.ε. νοες, ἀπὸ θλίψεων καὶ πειρασμῶν καὶ ἐφανώθησαν καὶ ἀνεκηρύχθησαν. ἀλλ' πάντα
Σωσιδότες, κ τὸν σοφὸν λόγον, Μὴ ἀπευδωμεν ἐν χαιρῷ ἐπαγωγῆς, ἀλλ' ἓν μόνον ἑαυτοις
παιδεύσωμεν, τὸ φέρειν πάντα γενναίως & μηδὲν πολυπραγμονεῖν, μηδὲ περιεργάζεσθαι
τῶν νομοθετῶν. τὸ μὲν γὰρ εἰδέναι πότε δεῖ λυθῆναι τὰς θλίψεις, τὸ συγχωρησάντος αὐ-
τὰς παρελθεῖν Θεοῦ· τὸ δὲ ἐπενεχθείσας μὴ πάσης φέρειν ἀνδρείας, τῆς ἡμῶν ἀγωνο- 5
μοσιώνης λοιπὸν ἔργον ἐστίν. ὅπερ ἐνῆν γένοιτο), πάντα ἕψεται τὰ ἀγαθά. ἵν' οὖν ταῦτα ἐ-
πίωμεν, κ δοκιμώτεροι μὲν ἀνταθῶμεν, λαμπρότεροι δὲ ἐκφανῶμεν, πάντων, ὁ ἐνῆν ἐπενεχθῆ,
δεχώμεθα, χάριν εἰδότες μᾶλλον πάντων τῷ εἰδότι μᾶλλον ἡμῶν τὸ συμφέρον, κ τῶν γε-
νναιοτέρων σφοδρότερον ἡμᾶς φιλοῦντι· κ τούτους ἀμφοτέρους τοὺς λογισμοὺς καθ' ἕκαστον
τῶν δεινῶν ἑαυτοῖς ἐπάδοντες, καταγελάσωμεν τῆς ἀθυμίας, κ δοξάζωμεν ἐν πᾶσι τὸν 10
πάντα μᾶλλον ἡμῶν ποιοῦντα κ προαγματευόμενον Θεόν. ὅταν γὰρ κ τὰς ὀπτασίας ἀφε-
κρουσόμεθα ῥᾳδίως, κ τῶν ἀκηράτων ὀπτευόμεθα φαιδρῶν· ὧν γένοιτο πάντας ἡμᾶς ὀπ-
τυγεῖν, χάριτι κ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, μεθ' οὗ τῷ πατρὶ δόξα, κράτος,
τιμή, σὺν ἁγίῳ πνεύματι, νῦν καὶ ἀεί, κ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

15

Ὁμιλ. ια. 7 ΙΔΩΝ ΔΕ ΠΟΛΛΟΥΣ ΤΩΝ ΣΑΔΔΟΥΚΑΙ-

ων κ Φαρισαίων ἐρχομένους ἐπὶ τὸ βάπτισμα αὐτοῦ, εἶπεν αὐτοῖς· γεννήματα ἐχιδνῶν, τίς ὑπέδειξεν ὑμῖν φυγεῖν ἀπὸ τῆς μελλούσης ὀργῆς.

Ματθ. γ. 7

Ὡς οὖν φησιν ὁ Χριστός, ὅτι οὐκ ἐπίστευσε Ἰωάννῃ; ὅτι οὐκ ἐῶν τοῦτο πι- 20
στεῦσαι, τὸν κηρυττόμενον ὑπ' αὐτοῦ μὴ δέξασθαι. ἐπεὶ κ τοῖς
Φαρισαίοις ἔδειξεν" ἀσεσημείωτον καὶ τοῦ νομοθέτου· ἀλλ' ὅμως
ἔφησεν αὐτοὺς μὴ ἀσεσημείωτον, ὅτι τὸν περὶ ἐκείνων ἀσεφη-
τευόμενον οὐκ ἐδέξαντο. Εἰ γὰρ ἐπιστεύσατε, φησι, Μωϋσῇ, ἐπι-
στεύσατε ἂν ἐμοί. & μὴ ταῦτα δὲ ἐρωτώμενοι ἀφῆκε τὸ Χριστοῦ, 25
τὸ βάπτισμα Ἰωάννου πόθεν ἦν· ἔλεγεν, ὅτι ἐὰν εἴπωμεν, ἀπὸ γῆς, φοβούμεθα τὸν ὄχλον·
ἐὰν δὲ εἴπωμεν, ἀπὸ οὐρανοῦ, ἐρεῖ ἡμῖν, πῶς οὖν οὐκ ἐπιστεύσατε αὐτῷ; ὥστε ἐξ ἀπόντων
τούτων δῆλον, ὅτι προεγίνοντο μὲν κ ἐβαπτίζοντο· ὁ μὲν ἐμεινεν ὅτι τὸ πίστεως τοῦ κηρύγματος.
κ γὰρ ὁ Ἰωάννης δείκνυσιν αὐτοῦ τὸ πεποιθός, ὃς ὧν φησὶ τὸ βαπτίζειν ἔπεμπον, λέγοντες· Εἰ σὺ
εἶ Ἠλίας; εἰ σὺ εἶ ὁ Χριστός; δῆλον ἐπήγαγον· οἱ δὲ ἀπεσταλμένοι ἦσαν οὐκ ἐκ Φαρισαίων. Τί οὖν; 30
οὐχὶ κ οἱ ὄχλοι τοῦτο ἐνόμιζον; ναί, ἐνόμιζον. ἀλλὰ μὲν ὄχλοι ἀπὸ γνώμης ἀπλάστου
ἦσαν ὑπόπτευον· οἱ δὲ Φαρισαῖοι, ὑπολαβεῖν βουλόμενοι, ὅτι καὶ ὁμολόγουν ἀπὸ τῆς κώμης
τοῦ Δαβὶδ ἔρχεσθαι τὸν Χριστόν, οὐκ ἐκ τῆς Λευϊτικῆς φυλῆς ὤν," ἐνέδρευον ἐλέγξαι οὐκ ἐν τῷ ἐ-
ρωτήσεσι· ἵνα, εἴ τι τοιοῦτον εἴποι, ταχέως ὑπολάβωσι. τοῦτο γοῦν κ τῶν ἐξῆς ἐδήλω-
σε. μηδὲν δὲ ὧν προσεδόκησαν ὁμολογήσαντος, κ ὅτως ὑπολαμβάνονται λέγοντες· Τί οὖν 35
βαπτίζεις, εἰ σὺ οὐκ εἶ ὁ Χριστός; κ ἵνα μάθῃς, ὅτι ἑτέρα μὲν φασιαῖοι, ἑτέρα δὲ ὁ
δῆμος προεγίνοντο γνώμη, ἄκουσον πῶς κ ὁ εὐαγγελιστὴς κ τοῦτο ἐδήλωσε· πρὸ μὲν τοῦ δήμου
λέγων, ὅτι προεγίνοντο, κ ἐβαπτίζοντο ὑπ' αὐτοῦ, ἐξομολογούμενοι τὰς ἁμαρτίας αὐτῶν· πρὸς
δὲ τοὺς Φαρισαίους οὐκ ἐπὶ ὁμοίοις, ἀλλ' ὅτι ἰδὼν πολλοὺς τῶν Σαδδουκαίων κ Φαρισαίων
ἐρχομένους ἔλεγε· γεννήματα ἐχιδνῶν, τίς ὑπέδειξεν ὑμῖν φυγεῖν ἀπὸ τῆς μελλούσης ὀρ- 40
γῆς; βαβαὶ τῆς μεγαληγορίας. πῶς ἀμελέτητος πρὸς ἀνθρώπους ἁμαρτιῶν ἀεὶ διηλέγχους
προφητικῶς, κ ὀφειλὴν οὐδὲν ἀμείνων ἀμείμπτους; πῶς κ αὐτοὺς κ τοῦ γεννηματίζειν μὴ
πολλῆς ἀφαιρεῖται τὴν παῤῥησίας; ναί φησιν· ἀλλ' ἡ μὲν παῤῥησία πολλή· τὸ δὲ ζητούμενον,
εἰ λόγον ἔχει ἢ παῤῥησία αὕτη. οὐδὲ γὰρ ἀμαρτάνοντας εἶδεν, ἀλλὰ μεταδιωκομέ-

νους;

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

νως· διόπερ οὐδὲ ἐξεκαλέσαμεν ἐκείνω, ἀλλὰ καὶ ἐπαινέσαμεν καὶ ἀποδέξασθαι, ὅτι πολλὰ ἀφέντες καὶ οἰκίας, ἕδραμον ἀκροσόμενοι τοῦ κηρύγματος. Τί οὖν ἂν εἴποιμεν; ὅτι οὐ τοῖς πρόσω, οὐδὲ τοῖς γνωμένοις προσεῖχεν· ἀλλὰ τὰ ἀπόρρητα τῆς διανοίας αὐτῶν ἠπίστατο, τοῦτο ἐκκαλύψαντος τοῦ Θεοῦ. ἐπεὶ οὖν μέγα ἐφρόνουν ὅτι τοῖς προγόνοις, καὶ τοῦτο αἴτιον αὐτοῖς τῆς ἀπωλείας ἐγένετο· εἰς ῥᾳθυμίαν ἐνέβαλε, τὴν ῥίζαν τῆς ἀπονοίας προεκόπτει. Διὸ φησὶ καὶ Ησαΐας ἄρχοντας Σοδόμων καλεῖ, καὶ λαὸν Γομόρρας. καὶ ἕτερος προφήτης φησίν, Οὐχ ὡς υἱοὶ Αἰθιόπων ὑμεῖς ἐστε; καὶ πάντες αὐτοὶ ταύτης ἀπάγουσι τῆς ὑπολήψεως, ὃ φύσημα αὐτῶν κενοῦντες, τὸ μεῖζον αὐτοῖς αἴτιον γινόμενον καυχᾶσθαι. ἀλλ' ἡμεῖς μὴ προφῆται, φησιν, εἰκότως (ἁμαρτάνομεν γὰρ ἑώρων) ἐν ταῦτα ὁ Χριστὸς ἔνευσεν καὶ Δαβίδ, πειθομένους ἐρᾷν, τοῦτο αὐτὸν ποιεῖ; ἵνα ἀπαλωτέρους ἐργάσηται. εἰ δέ τις μὴ ἀκριβείας προσέχει τοῖς λεγομένοις, καὶ ἐγκωμίῳ τὴν ὑπερβολὴν ἐκέρασε. θαυμάζω γὰρ αὐτοῦ, ὅτι οὐκ ἐγκωμιάζοντα τὰ ἀδυνάτα αὐτοῖς ἡδέως εἰ δοκοῦντα ἠδυνήθησαν, ταῦτα ἔλεγεν. ἐφυγκωμιάζοντος οὖν μᾶλλόν ἐστιν ἡ ὑπερβολή, καὶ προσκυλίζοντος ἀνδυναμίαν. ὅταν γὰρ φαίνηται ἐκπλήττομενος, καὶ τὴν ἔμφασιν δείκνυσιν αὐτῶν πονηρίαν πολλὴν οὖσαν, καὶ τὴν μεταβολὴν θαυμαστὴν καὶ παράδοξον. Τί γὰρ γέγονέ, φησιν, ὅτι πάντες οἱ τότε ἐκείνων, καὶ ὅτε πραφέντες κακῶς, μετενόησαν; πόθεν ἡ τοσαύτη γέγονε μεταβολή; τίς τὸ πρῶτον τῆς γνώμης ὑμῶν κατεμάλαξε; τίς διώρθωσε τὸν αἰσθητόν; καὶ ὅπως ποτὲ αὐτοῦ βούλεται ἀπὸ τῶν προσημίων ἐξέπληξε, τὰς παρὰ τῆς γεέννης καταδικάζοντος λόγους. οὐ γὰρ εἶπε τὰ εἰωθότα· τίς ὑπέδειξεν ὑμῖν φυγεῖν τὰς πολέμους, τὰς τῶν βαρβάρων ἐφόδους, τὰς αἰχμαλωσίας, τὰς λιμούς, τὰς λοιμούς; ἀλλ' ἄλλως πως κόλασιν προσδυσκρύβλου μηδέποτε αὐτοῖς φανερὸν γενησομένου, ὅτω λέγων· τίς ὑπέδειξεν ὑμῖν φυγεῖν ἀπὸ τῆς μελλούσης ὀργῆς καλῶς ἢ αὐτὸς καὶ γράμματα ἐχιδνῶν ἐκάλεσε. καὶ γὰρ ἐκεῖνο τὸ σημεῖον Δαβὶδ τῷ ὠδίνουσαν, καὶ Δαβὶδ τρώγειν τὴν μαστέρα αὐτῆς, οὕτω λέγεται προσιέναι εἰς φῶς. ὅπερ καὶ οὗτοι ἐποίουν, πατραλοῖαι καὶ μητραλοῖαι γινόμενοι, καὶ τὰς διδασκάλους ταῖς ἑαυτῶν Δαβὶδ φθείροντες χερσίν. ἀλλ' οὐχ ἵσταται μέχρι ταύτης τῆς ὑπερβολῆς, ἀλλὰ καὶ συμβουλὴν εἰσάγει.

8 Ποιήσατε, φησι, καρποὺς ἀξίους τῆς μετανοίας. Οὐ γὰρ ἀρκεῖ τὸ φυγεῖν τὴν πονηρίαν, ἀλλὰ καὶ ἀρετὴν δεῖ πολλὴν ἐπιδείξασθαι. μὴ γάρ μοι τὰ ἀνδρία καὶ σιωπᾶτε· ὅτι προὔλιγον ὠνείδισαν χρόνον, προὺς τὴν αὐτὴν ἐπανίστε πονηρίαν. ὃ γὰρ ὅτι τοῖς αὐτοῖς προσεγένοντο, ὡς καὶ ἡμεῖς ἔμφασθεν προφῆται. ἐξηλλαγμένα γὰρ τὰ παρόντα καὶ ὑψηλότερα· ἐπεὶ [καὶ] αὐτὸς προσδοκᾶται λοιπὸν ὁ χριστὸς, αὐτὸς ὁ τῆς βασιλείας διαστάτης, προὺς μείζονα ἀγῶνα φιλοσοφίαν, εἰς τὸν ἀρχαῖον καλοῦν, καὶ προὺς τὰς ἐκ Δαβὶδ πρεσβείας ἀνέλκων. Δαβὶδ τοῦτο καὶ τὸν τῆς γεέννης ἀνακαλύπτω λόγον. καὶ γὰρ τὰ ἀγαθὰ καὶ τὰ λυπηρὰ, ἀθάνατα. μὴ τοίνυν τοῖς αὐτοῖς ἐμμένετε [κακοῖς,] μηδὲ τὰς εἰωθυίας προβάλλεσθε προφάσεις, Αβραάμ, Ισαὰκ, Ιακώβ, τῶν προγόνων τὴν βλάβειαν. ταῦτα γὰρ ἔλεγεν, ὅτε κωλύων αὐτοὺς λέγειν ἐξ ἐκείνων εἶναι τῶν ἀγίων, ἀλλὰ κωλύων μὴ τούτῳ θαρρεῖν, τῆς καρδίας ψυχρὰν ἀρετῆς ἀμηχανοῦσας, καὶ τὰ καρδίαν διανοίαν εἰς μέσον ἐκφέρων, καὶ τὰ μέλλοντα προφθάνων. καὶ γὰρ μὴ ταῦτα φαίνονται λέγοντες· Ημεῖς πατέρα ἔχομεν τὸν Αβραάμ, καὶ οὐδενὶ δεδουλεύκαμεν πώποτε. ἐπεὶ οὖν τοῦτο ἴσως, ὃ μάλιστα αὐτοὺς εἰς ἀπόνοιαν ἦρε καὶ ἀπώλεσε, πρῶτον αὐτὸ καθαιρεῖ. ὅρα δὲ πῶς μὴ τὸ εἰς τὸν πατριάρχην ἡμᾶς, τὴν ὑπερβολὴν τούτων ποιήσηται διόρθωσιν. εἶπεν γὰρ,

9 Μὴ δόξητε λέγειν ὅτι πατέρα ἔχομεν τὸν Αβραάμ, Οὐκ εἶπεν, οὐδὲν γὰρ ὑμᾶς ὁ πατριάρχης ὠφελήσει δυνήσεται· ἀλλ' ἡμερώτερόν πως καὶ προσηνέστερον αὐτὸ τοῦτο ἠνίξατο, εἰπών· Δυνατὸν γάρ ὁ Θεὸς ἐκ τῶν λίθων τούτων ἐγεῖραι τέκνα τῷ Αβραάμ. Τινὲς μὲν οὖν φασιν, ὅτι προὺς τοὺς ἐνθάδε ταῦτα λέγει, λίθους αὐτοὺς μεταφορικῶς

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

φοεικῶς καλῶν· ἐγὼ ὃ ἕτερον ἔννοιαν τὸ εἰρημένον φημὶ ἔχειν. ποίαν δὴ ταύτην; μὴ νομίζετέ, φησιν, ὅτι, ἐὰν ὑμεῖς ἀπόλησθε, ἀπαιδα ποιήσητε τὸν πατριάρχην. οὐκ ἔστι τοῦτο, οὐκ ἔστι. τῷ γὰρ Θεῷ δυνατὸν ἐκ λίθων τούτων ἀναστῆσαι τέκνα τῷ Ἀβραάμ, ἐπεὶ καὶ ἐξ ἀρχῆς οὕτως ἐγένετο. ὁ γὰρ οὐκ ὢν λίθων δυνάμενος γενέσθαι, ὅμοιον ἰσχύει τῷ ἀπὸ τῆς μήτρας ἐκείνης τῆς σκληρᾶς προσῆκεν παιδίον. ὅπερ οὖν καὶ ὁ προφήτης αἰνιττόμενος ἔλεγεν· Ἐμβλέψατε εἰς τὴν πέτραν, ἐξ ἧς ἐλατομήθητε, καὶ εἰς τὸν βόθυνον τοῦ λάκκου, ἐξ οὗ ὠρύγητε· ἐμβλέψατε εἰς Ἀβραὰμ τὸν πατέρα ὑμῶν, καὶ εἰς [τὴν] Σάρραν τὴν ὠδίνουσαν ὑμᾶς. ταύτης τοίνυν τῆς προφητείας ἀνθεῖς δυναμένους, ἐδείκνυε ὅτι ἐξ ἀρχῆς οὕτω θαυμαστῶς αὐτὸν ἐποίησε πατέρα, ὡσανεὶ ἐκ λίθων αὐτὸν ἐποίησε, φησὶ δυνατὸν καὶ νῦν τοῦτο γενέσθαι. καὶ ὅρα πῶς καὶ φοβεῖ, καὶ ἐκκόπτει. ὁ γὰρ εἶπεν, ὅτι ἤγειρεν ἤδη, ἵνα μὴ ἀπογνῶσιν ἑαυτούς· ἀλλ' ὅτι δυνατὰ ἐπεῖπε. καὶ οὐκ εἶπεν, ὅτι δυνατὰ αὐθέφτους ποιῆσαι ἀπὸ λίθων, ἀλλ' ὁ πολλῷ μεῖζον ἦν, καὶ συγγενεῖς καὶ παῖδας τῷ Ἀβραάμ. εἶδες πῶς τέως ἀπέστησεν αὐτοὺς τῆς περὶ τὰ σωματικὰ φαντασίας, καὶ τῆς εἰς τοὺς προγόνους καταφυγῆς, ἵνα ἐν τῇ οἰκείᾳ μετανοίᾳ καὶ σωφρονούσῃ τὴν ἐλπίδα τῆς σωτηρίας ἔχωσιν; εἶδες πῶς τὴν τῆς ῥίζης ἐκβάλλων συγγένειαν, τὴν ἀπὸ τῆς πίστεως εἰσάγει; σκόπει τοίνυν πῶς καὶ ἀφ' ἑαυτῶν ἐξῆς αὔξει τὸν τῶν φόβον, καὶ ἐπιτείνει τὸν ἀγωνίαν. εἶπων γάρ, ὅτι δυνατὸν ὁ Θεὸς ἐκ τῶν λίθων τούτων ἐγεῖραι τέκνα τῷ Ἀβραάμ, ἐπήγαγεν·

Ἤδη δὲ καὶ ἡ ἀξίνη πρὸς τὴν ῥίζαν τῶν δένδρων κεῖται,

Διὰ πολλῶν τὸν λόγον φοβερὸν ποιῶν. καὶ γὰρ καὶ αὐτὸς πολλῷ ἀπὸ τοῦ βίου τὸν παῤῥησίαν εἶχε, κἀκεῖνοι σφοδρᾶς ἐδέοντο τῆς ἐπιπλήξεως, πολλῷ ἤδη χερσωθέντες χρόνον. Τί γὰρ λέγω, φησίν; ὅτι "ἀποπίπτειν μέλλετε τῆς πρὸς τὸν πατριάρχην συγγενείας, καὶ ἑτέρους ὁρᾶν τοὺς ἀπὸ λίθων εἰς τὴν ὑμετέραν εἰσαγομένους πρεσβείαν; οὐδὲ γὰρ μέχρι τούτου τὰ τῆς ὑμετέρας ὑμῖν, ἀλλὰ καὶ πρότερον προσβήσεται τὰ τῆς κλάσεως. ἤδη γάρ, φησίν, ἡ ἀξίνη πρὸς τὴν ῥίζαν τῶν δένδρων κεῖται. σοβερώτερον τούτου τοῦ λόγου τὸν ἔρπα. "οὐκέτι γὰρ δρεπάνιον περίμενον, οὐδὲ φερασμὸν κεφαίρεσις, οὐδὲ ὃ καπνὸν ἀπειλῆσθαι τὸν ἀμπελῶνα· ἀλλὰ ἀξίνη σφοδρὰ ἀκμάζουσα, καὶ ὃ δὴ χαλεπώτερον, ὅτι καὶ ἐπὶ ῥίζαις αὕτη. ἤδη γὰρ τοῖς προφήταις συνεχῶς ἀπιστοῦντες ἔλεγον· Πῶ ἐστὶν ἡ ἡμέρα Κυρίου; καὶ, ἐλθέτω ἡ βουλὴ τοῦ ἁγίου Ἰσραήλ, ἵνα γνῶμεν, καὶ τὸ μὴ πολλὰ πολλάκις ἔτη συκαίνειν τὰ λεγόμενα, καὶ ταύτης αὐτοὺς ἀπάγων τῆς προσημασίας, ἐπὶς αὐτὴν ἵστησι τὰ δεινά. καὶ τοῦτο ἐδήλωσε τῷ εἰπεῖν, ἤδη, καὶ τῷ τῇ ῥίζῃ αὐτὴν "προσαγαγεῖν. οὐδὲν γὰρ τὸ μέσον λοιπόν, φησιν· ἀλλ' αὐτὴ γὰρ ἐπίκειται τῇ ῥίζῃ. καὶ οὐκ εἶπε, τοῖς κλάδοις, οὐδὲ τοῖς καρποῖς, ἀλλὰ τῇ ῥίζῃ· δεινοὶ αὐτοὶ, εἰ ῥᾳθυμήσαμεν, ἀνίατα πεισομένους δεινὰ, καὶ οὐδὲ ἐλπίδα ἔχοντας θεραπείας. οὐδὲ γὰρ διὰλυσίς ἐστιν ὁ προφητικὸς ὁμοίωμος, ὡς ἐπὶ προτέρων· ἀλλ' αὐτὸς ὁ πᾶν ὅλων δεσπότης, "σφοδρὰν ἐπάγων τὴν τιμωρίαν καὶ δικαιοπάτην. ἀλλ' ὅμως καὶ φοβήσας πάλιν αὐτοὺς, οὐκ ἀφίησιν εἰς ἀπόγνωσιν ἐμπεσεῖν· ἀλλ' ὥσπερ ἀνωτέρω οὐκ εἶπεν, ὅτι ἤγειρεν, ἀλλ' ὅτι δυνατὸν ἐγεῖραι τέκνα τῷ Ἀβραάμ, φοβῶν τε ὁμοῦ καὶ "προτρεπόμενος, οὕτω καὶ ἐνταῦθα οὐκ εἶπεν, ὅτι ἦλατο τῆς ῥίζης, ἀλλ' ὅτι ἐπίκειται καὶ ὁμιλεῖ τῇ ῥίζῃ. καὶ σοβεμίαν ἀναβολὴν ἐνδείκνυται, πολλὴν ἀλλαγὴν καὶ οὕτως ἐγγὺς αὐτὴν ἀγαγών, ὑμᾶς κωφοὺς ποιεῖ τῆς τομῆς. ἂν μὲν γὰρ μεταβάλησθε καὶ γνῶτε βρύσιον, ἀπελθοῦσα μηδὲν ἐργασαμένη ἡ ἀξίνη αὕτη· ἂν δὲ τοῖς αὐτοῖς ἐπιμείνητε, "προῤῥιζον ἀναπαύσει τὸ δένδρον. διὰ τοι τοῦτο οὔτε ἀφῆκε τῆς ῥίζης, οὔτε ἐπικειμένην τέμνει· τὸ μὲν, ἵνα μὴ ἀνάπεσητε, τὸ δὲ, ἵνα μάθητε ὅτι δυνατὸν ἐκ τῶν [τῶν] βεβηχὸς χέρσου μεταβαλομένους σωθῆναι· διὸ καὶ πανταχοῦ αὐτοὺς τοῦ φόβου, διεγείρων αὐτοὺς καὶ ὠθῶν "προς μετάνοιαν. καὶ γὰρ [καὶ] τὸ πᾶν "προσηνὲς σκέπτεσθαι, τὸ ἑτέρους ἀντεισαγομένους,

καὶ

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

καὶ ζ ὅτι ἰῦραις εἰ) τὰ δεινά, καὶ τὸ αὐήκεσα πείσεσθαι (ἅπερ ἀμφότερα δηλῶ τῆς ῥίζης καὶ τῆς ἀξίνης ἐδήλωσεν) ἰκμαλίῳ δὲ τὰς σφόδρα αὐαπεπλωκότας δηναιῆσαι ἢ ἀναγωνίους ἐργάσασθαι. τοῦτο γοῦν δὲ ὁ Παῦλος δηλῶν ἔλεγε· Οτι λόγον ζωντετμημένον ποιήσει Κύριος ὅτι τὴν οἰκουμένην ὅλην. ἀλλὰ μὴ φοβηθῇς, μᾶλλον δὲ φοβήθητι μὲ, μὴ ἀπογνῷς δέ. ἔστι γὰρ ἔχεις ἐλπίδα μεταβολῆς. ὁ γὰρ ἀβοτελὴς ὁ ἀποφασις, οὐδὲ ὅτι τὸ "τέμνειν ἡ ἀξίνη ἦλθεν (ἐπεὶ τί ἐκώλυεν αὐτὴν τεμεῖν ὁμιλοῦσαν τῇ ῥίζῃ;) ἀλλ' ὅτι τὸ σε δὲ φόβῳ τοῦτῳ ποιῆσαι βελτίονα, καὶ προσκυάσαι καρπὸν ἐνεγκεῖν. διὰ τοῦτο ἐπήγαγε.

Ηδὺ δένδρον μὴ ποιοῦν καρπὸν καλὸν, ἐκκόπτεται καὶ εἰς πῦρ βάλλεται.

Οταν εἴπῃ, πῶς, ἐκβάλλει πάλιν τὴν ἀπὸ τῆς θύραις προσδοκίαν. καὶ γὰρ αὖ τὸν Αβραὰμ ἔκγονος ἦς, φησι, καὶ μηδὲν ἔχῃς ἀξίωμα πατριάρχας, διπλοῦν ἐστησεν τὴν κόλασιν, ἄκαρπος μένων. ἀπὸ τούτων τῶν ῥημάτων, καὶ τελώνας ἐφόβησε, καὶ γραμματέων διάνοιαν κατέστησεν, ὅτε εἰς ἀπόγνωσιν ἐμβαλὼν, καὶ ῥᾳθυμίας ἀπαλλάττων ἁπάσης. μετὰ γὰρ τὸ φόβου καὶ πολλὴν προσδοκλησιν ἔχει τὸ εἰρημένον. ταῦ γὰρ εἴπῃ, μὴ ποιοῦν καρπὸν καλὸν, ἔδειξεν ὅτι τὸ ποιοῦν καλὸν, πάσης ἀπηλλαγμένα ὑμωείας. καὶ πῶς δυνησόμεθά, φησι, ποιῆσαι καρπὸν, τῆς τομῆς ἐπικειμένης, καὶ τοῦ χρόνου οὕτω γενομένου, καὶ τῆς προθεσμίας ζωντετμημένης; δυνήσῃ, φησίν. ὁ γὰρ τοιοῦτος ἔστ ὁ καρπὸς, οἷος ὁ τῶν δένδρων, χρόνον δυσμενῶν πολλὸν καὶ ὥρας δουλεύων δυσάγκαις, καὶ πολλῆς ἑτέρας δεσμὸς προσφυμάτειας· ἀλλ' ἔρκης θελήσαι, καὶ τὸ δένδρον θύρεως ἐβλάστησεν. ὁ γὰρ ἡ φύσις τὴν ῥίζης μόνον *, ἀλλὰ καὶ ἡ τέχνη τοῦ γεωργοῦ προσὴς τὸ ζιαυτὸν τὰ μέγιστα ζωπελεῖ τὸν καρποφοείαν. διὰ γὰρ τοι τοῦτο, ἵνα μὴ ζῶντα λέγωσιν, ὅλη θορυβεῖς ἡμᾶς καὶ καταπείγῃς καὶ "ἀγχεις, ἀξίνην τε ὑπιλθεὶς καὶ τομὴν ἀπειλῶν, καὶ προσόδους ἐν καιρῷ ὑμφείας αἰτῶν, ἐπήγαγε, δεικνὺς τὸν ὀκολίδν τῆς καρποφοείας.

11 Εγὼ μὲν ὑμᾶς βαπτίζω ἐν ὕδατι * · ὁ δὲ ὀπίσω μου ἐρχόμενος, ἰσχυρότερός μού ἐστιν, οὗ οὐκ εἰμὶ" ἄξιος Ⓦ ἱμάντα τοῦ ὑποδήματος λῦσαι· αὐτὸς ὑμᾶς βαπτίσει ἐν πνεύματι ἁγίῳ καὶ πυρί· Διὰ τούτων δείκνυσι, ὅτι γνώμης μόνης δεῖται καὶ πίστεως, οὐ πόνων καὶ ἱδρώτων· καὶ ὥσπερ οὐκολον βαπτισθῆναι, οὕτως οὐκολον μεταβληθῆναι καὶ γνώσθαι ἀμείνους. κατασείσας τοίνυν αὐτῶν τὴν διάνοιαν ἀπὸ φόβου τῆς κρίσεως, καὶ τῇ προσδοκίᾳ τῆς κολάσεως, καὶ ἀπὸ ὀνόματι τῆς ἀξίνης, καὶ τῇ ἀποβολῇ τῶν προγόνων, καὶ τῇ εἰσαγωγῇ τῶν ἑτέρων τέκνων, καὶ τῇ διπλῇ ὑμωείᾳ, "τῇ ἐκτομῇ καὶ ἀπὸ ἐμπορησμοῦ, καὶ πρώτοθεν αὐτῶν καταμαλάξας ὃ σκληρὸν, καὶ κατασήσας εἰς ὑπομονὴν τῆς ἀπαλλαγῆς [τῶν] ζοσούτων κακῶν, τότε εἰσάγει Ⓦ περὶ τοῦ Χριστοῦ λόγον· ὃ οὐχ ἁπλοῦς, ἀλλὰ μετὰ πολλῆς τῆς ἀσφαλοῦς. εἶπα δὲ μέσον αὐτοῦ καὶ ἐκείνου ὑθεῖς, ἵνα μὴ δόξῃ χαυνίζόμενος τοῦτο λέγειν, ἀπὸ τῆς συγκρίσεως τῶν πρὸ ἑκατέρου διδομένων τοῦτο κατασκευάζει. ὁ γὰρ βύθεως εἶπεν, οὐκ εἰμὶ ἄξιος αὐτοῦ λῦσαι τὸν ἱμάντα τοῦ ὑποδήματος, ἀλλὰ προέτερον δὲ βύτελὲς τοῦ βαπτίσματος δέασθῆναι, καὶ δείξας ὡς οὐδὲν πλέον ἔχει τὸ προὲς μετάνοιαν ἀγαγεῖν (οὐ γὰρ εἶπεν, ὅτι ὕδατι ἀφέσεως, ἀλλὰ μετανοίας) πέμπει καὶ δὲ αὐτὸ, τὸ τῆς ἀφάτου δωρεᾶς γέμον. ἵνα γὰρ μὴ ἀκούσας, φησὶν, ὅτι μετ' ἐμὲ ἔρχεται, καταφρονήσῃς αὐτοῦ ὡς "ὕστερον παρελθομένου, μάθῃ αὐτοῦ τῆς δωρεᾶς τὸν δυνάμιν, δὲ εἶπεν ἀσφαλῶς, ὅτι οὐδὲν ἄξιον εἰρήνα, οὐδὲ μέγα, εἰπὼν [ὅτι] οὐκ εἰμὶ ἄξιος λῦσαι Ⓦ ἱμάντα τοῦ ὑποδήματος. ὥστε, ὅταν ἀκούσῃς, ὅτι ἰσχυρότερός μού ἐστι, μὴ νομίσῃς τοῦ σύγκρισιν με τοῦτο εἰρηκέναι. οὐδὲ γὰρ εἰς δούλους ἄξιός εἰμι ταπεινοῦσθαι ἐκείνου, οὐδὲ εἰς δούλους ἑαυτῆς, οὐδὲ τὸ βύτελὲς τῆς οἰκονίας δυνάδεξασθαι μέρος. διὰ τοῦτο γὰρ ἁπλοῦς εἶπε, τὰ ὑποδήματα, δηλονότι οὐδὲ Ⓦ ἱμάντα, ὅπερ ἔλαττον πάντων ἐδόκει εἶ). εἶπα, ἵνα μὴ νομίσῃς ταπεινοφρονοῦντα εἶ τὰ εἰρημένα, ἐπήγαγε καὶ τὸν ἀπὸ τῶν πραγμάτων ἀπόδειξιν. ἐκεῖνος γὰρ ὑμᾶς, φησι, βαπτίσει

σει

σει ἐν πνεύματι ἁγίῳ καὶ πυρί. εἶδες πόση ἡ βαπτίσεως ἰσχύς; ὅταν γὰρ αὐτὸς κηρύττῃ, τὰ φοβερὰ πάντα λέγῃ καὶ ἀγωνίαν ἐμβάλλοντα· ὅταν δὲ τοὺς ἐκείνου πέμπῃ, τὰ χρηστὰ, καὶ ἀναπαύσασθαι ἰκμά. ἡ γὰρ τοῦ ἀξίνου, φησὶ, τὸ δένδρον τὸ ἐκκοπτόμενον καὶ καιόμενον, εἰς πῦρ βαλλόμενον, οὕτε τοῦ μέλλουσαν ὀργὴν εἰς μέσον ἄγει· ἀλλ' ἁμαρτημάτων ἄφεσιν, εἰ ἐμφέλειας ἀναίρεσιν, καὶ δικαιοσύνην, καὶ ἁγιασμὸν, καὶ ἀπολύτρωσιν, καὶ υἱοθεσίαν, καὶ ἀδελφότητα, καὶ κληρονομίας κοινωνίαν, καὶ πνεύματος ἁγίου δαψιλῆ χορηγίαν. ταῦτα γὰρ πάντα ἠνίξατο, εἰπὼν, βαπτίσει ὑμᾶς ἐν πνεύματι ἁγίῳ, καὶ αὐτῇ τῇ μεταφορᾷ τῆς λέξεως τὸ δαψιλὲς τῆς χάριτος ἐμφαίνων. οὐ γὰρ εἶπε, δώσει ὑμῖν πνεῦμα ἅγιον· ἀλλὰ βαπτίσει ὑμᾶς ἐν πνεύματι ἁγίῳ, εἰ τῇ ἐπεξηγήσει δὲ πυρὸς πάλιν τὸ σφοδρὸν καὶ ἀκάθεκτον τῆς χάριτος ἐνδεικνύμενος. ἐννόησον γοῦν πόσοι τινὰς εἰκὸς ἦν ἡμᾶς ἀκούοντας, λογιζομένους ὅτι καὶ τοῦ προφήτας ἀληθῆ ἔσονται [καὶ καὶ] τοῦ μεγάλους ἐκείνους. ἀλλὰ γάρ τοι δεῖ καὶ πυρὸς ἐμνημόνευσεν, ἵνα εἰς ἔννοιαν αὐτοὺς τῆς μνήμης ἐκείνων ἀγάγῃ. καὶ γὰρ ὅσαι ἀρεταὶ πόλεις ἐφάνησαν, αἱ πλείστας δὲ πυρὸς ἐφλόγησαν. οὕτω δὲ Μωϋσῆ διελέχθη ἐν τῇ βάτῳ ὁ Θεός· οὕτω δὲ δήμῳ παντὶ ἐν ὄρει Σινᾶ· οὕτω δὲ Ἰεζεκιὴλ ὅτι τῶν χερουβίμ. σκέπει γάρ πως καὶ διεγείρει ⟨ω⟩ ἀκροατὴν, τοιοῦτον μὲν ἦναι ὃ μὴ πάντα ἐμελλε γίνεσθαι. ἔδει γὰρ σφαγὴν τ' ἀμνοῦ, καὶ τοῦ ἁμαρτίαν ἀφανισθῆναι, καὶ καταλυθῆναι τοῦ ἔθνους, καὶ τοῦ ταφῆναι γενέσθαι καὶ τοῦ ἀνάστασιν, καὶ τότε τὸ πνεῦμα παραγενέσθαι. ἀλλὰ τούτων οὐδὲν λέγει πάντως· ἀλλὰ τοιοῦτον τὸ τελευταῖον, καὶ δι' ὃ πάντα ἐκεῖνα ἐγένετο, καὶ ὃ μάλιστα ἱκανὸν ἦν αὐτοῦ τοῦ ἀξίνου κηρύξαι· ἵν', ὅταν ἀκούσῃ ὁ ἀκροατὴς, ὅτι πνεῦμα λήψεται τοσοῦτον, ζητήσῃ παρὰ ἑαυτὸν, πῶς, καὶ τίνι τρόπῳ τοῦτο ἔσται, τῆς ἁμαρτίας οὕτω κρατούσης· ἵνα λαβὼν αὐτὸν μεμεμνημένον καὶ ἐμπαθέστερον πρὸς τοῦ ἀκρόασιν, οὕτω ⟨ω⟩ παρὰ τοῦ πάθους εἰσαγάγῃ λόγον, μηδενὸς λοιπὸν σκανδαλιζομένου τῇ παραδοξίᾳ τῆς τοιαύτης δωρεᾶς. διὰ πάλιν ἑβδομάδα λέγων· ἴδε ὁ ἀμνὸς τοῦ Θεοῦ, ὁ αἴρων τοῦ ἁμαρτίαν τοῦ κόσμου. οὐκ εἶπεν, ὁ ἀφείς, ἀλλ', ὁ μείζονος ἦν κηδεμονίας, ὁ αἴρων. ἡ γὰρ ὄντως ἴσον ἀφῆναι ἁπλῶς, καὶ τὸν αὐτὸν ἀναβαλέσθαι. ὃ μὴ γὰρ ἐξ ἀκινδύνου ἐγίνετο, ὃ μὴ θανάτου. καὶ πάλιν ἔλεγεν, ὅτι υἱὸς τοῦ Θεοῦ ὄντως ἐστὶν. ἀλλ' οὐδὲ τοῦτο πανταχοῦ τοῖς ἀκούουσι τοῦ ἀξίνου ἐδήλου (οὐδὲ γὰρ ἠδέσαν οὐδέπω γνήσιον αὐτὸν σύνοιδεν υἱόν) ἀπὸ δὲ τῆς τοσαύτης τοῦ πνεύματος δόσεως καὶ ἐκφανοῦς [σωίσεως]. διὰ δὴ τοῦτο καὶ ὁ πατὴρ πέμπων ⟨ω⟩ Ἰωάννου, τοῦτο αὐτῷ δεῖγμα πρῶτον τῆς τοῦ παραγινομένου δέδωκεν ἀξίας, εἰπών· Ἐφ' ὃν ἂν ἴδῃς τὸ πνεῦμα καταβαῖνον καὶ μένον ἐπ' αὐτὸν, οὗτός ἐστιν ὁ βαπτίζων ἐν πνεύματι ἁγίῳ. διὰ καὶ αὐτὸς φησιν· ἐγὼ ἑώρακα καὶ μεμαρτύρηκα, ὅτι οὗτός ἐστιν ὁ υἱὸς τοῦ Θεοῦ, ὡς ἀπὸ τούτου κἀκείνου λοιπὸν σαφῶς [σωισαμένου]. εἶπα, ὅπως πάντα χρηστὰ εἶπε, καὶ μήπω ⟨ω⟩ ἀκροατοῦ, καὶ ἐχάλασε· πάλιν ὀπισθίγει, ὥστε μὴ γένεσθαι ῥᾴθυμον. τοιοῦτον γὰρ ὁ γένος τοῦ Ἰουδαϊκὸν, καὶ τῶν χρηστῶν ἐξαγωνιῶντα ῥᾳδίως καὶ χείρους ἐγίνοντο. διὸ πάλιν ἐπάγει τὰ φοβερὰ, λέγων·

Ἰωαν. α. λγ.

12 Οὗ τὸ πτύον ἐν τῇ χειρὶ αὐτοῦ. Ἀνωτέρω μὲν γὰρ τοῦ κόλασιν εἶπεν, ἐνταῦθα δὲ ⟨ω⟩ κρίσιν δείκνυσι, καὶ τοῦ τιμωρίαν ἀθάνατον εἰσάγει.

Ἰωαν. ιε. α.

Καθαίρει γὰρ, φησὶ, τὴν ἅλωνα αὐτοῦ. Ὁρᾷς αὐτὸν ⟨ω⟩ τῶν πραγμάτων κύριον, καὶ αὐτὸν ὄντα ⟨ω⟩ γεωργὸν, "καὶ ⟨ω⟩ πατέρα ἀλλαχοῦ" ταυτὶ λέγῃ; Ὁ πατήρ μου γάρ, φησὶν, ὁ γεωργός ἐστιν. "εἶτα, ὅπως" εἶπεν, ἀξίνη, ἵνα μὴ νομίσῃς πόνου δεῖσθαι τὸ πρᾶγμα, καὶ δυσδιάκριτον ᾖ, ὡς ἕτερα "πρὸς δείγματος δὲ τοῦ δυκολίαν εἰσάγει, δείκνυσι πάντα αὐτοῦ ὄντα ⟨ω⟩ κόσμον. ἡ γὰρ δὴ οὐ μὴ "ἑαυτῷ σκόλασε. νῦν μὲν οὖν πάντα δυναμένη. καὶ γὰρ" φάνηται ἅλωνα ὁ σῖτος, ἀλλ' ὅμως μετὰ τοῦ ἀχύρων κεῖται, ὡς ἐν ἅλωνι, οὐχ ὡς ἐν ἀποθήκῃ· τότε δὲ πολλὴ ἔσται ἡ διάκρισις. ποῦ" νῦν εἶσιν ⟨ι⟩ τῇ γεέννῃ παραπεσοῦντες; καὶ γὰρ δύο πέφηκε, καὶ ὅτι βαπτίσει πνεύματι ἁγίῳ, καὶ ὅτι

καταιγίσει

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

καὶ παικαύσει τοὺς ἀπιστοῦντας. Εἰ τοίνυν ἐκεῖνο πιστόν, καὶ τοῦτο πιστόν. Διὰ γὰρ τοῦτο ἐφεξῆς τοῦτό δύο προῤῥήσεις τέθεικεν, ἵνα ἀπὸ τῆς ἤδη γεγονυίας καὶ τῷ μηδέπω συμβᾶσαν πιστώσηται. καὶ γὰρ [καὶ] ὁ Χριστὸς πολλαχοῦ τοῦτο ποιεῖ, πολλάκις μὲν ὅτι τῶν αὐτῶν προφητῶν, πολλάκις δὲ ὅτι τῶν ἀνομιῶν, δύο λήψεις προφητείας· καὶ τῷ μὲν ἐντεῦθεν πρόχειρος, τῷ δὲ ἐν τῷ μέλλοντι ἐπιχειρούμενος, ἵνα ἀπὸ τῆς ἤδη γεγονυίας καὶ τῇ μηδέπω γεγονυίᾳ πιστεύσωσιν οἱ φιλονεικότεροι. καὶ γὰρ τοῖς δι' αὐτὸν ἀποδυομένοις τὰ ὄντα πάντα, ἑκατονταπλασίονα ἐπηγγείλατο δώσειν ἐν τῷ παρόντι βίῳ, καὶ ζωὴν αἰώνιον ἐν τῷ μέλλοντι, ἀπὸ τῶν ἤδη δοθέντων καὶ τὰ μέλλοντα" ἀξιόπιστα καθιστάς. ὃ δὴ καὶ Ἰωάννης ἐνταῦθα πεποίηκε δύο θεὶς· ὅτι καὶ βαπτίσει πνεύματι ἁγίῳ, καὶ καταικαύσει πυρὶ ἀσβέστῳ. Εἰ τοίνυν μὴ ἐβάπτισεν [ἐν] πνεύματι τοὺς ἀποστόλους καὶ πάντας καθ' ἑκάστην ἡμέραν τοὺς βουλομένους, "ἔχεις δὴ καὶ περὶ ἐκείνων ἀμφιβάλλειν. Εἰ δὲ μεῖζον καὶ δυσκολώτερον εἶναι δοκοῖ καὶ πάντα ῥᾴδιον λόγον, καὶ γέγονε, καὶ καθ' ἑκάστην γίνεται, πῶς δὲ οὐκ ἄλογον καὶ μὴ λόγον γινόμενον ἄν φήσειεν εἶναι δήπου; ὅτι γὰρ εἶπεν, ὅτι βαπτίσει ἐν πνεύματι ἁγίῳ καὶ πυρί, καὶ μεγάλα" ἐνταῦθα ἐπήγετο ἀγαθά, ἵνα μὴ ἀναπίσης τῶν προτέρων ἀπάντων ἀφεθείς, ἐπήγαγε δὲ πῦρ, καὶ τοῦτο κρίσιν ἐμφαινομένην. μὴ γὰρ δὴ νομίσητέ, φησίν, ἁρκεῖν δὲ βάπτισμα, εἰ φαῦλοι μὴ ζῶντα γένοισθε. δεῖ γὰρ ἡμᾶς καὶ ἀρετῆς καὶ πολλῆς τῆς φιλοσοφίας. διὰ τοῦτο εἰς μὲν τοὺς ἐν ὄρει καὶ δεῖ λαβεῖν ἀπὸ τῆς ἀξίνης αὐτοὺς ὠθεῖ· μὴ γὰρ τοῦ ὄρους, ἀπὸ τοῦ πύρ καὶ τοῦ πυρὸς τοῦ ἀσβέστου φοβεῖ. καὶ τῶν μὲν περὶ τοῦ βαπτίσματος οὐδεμίαν ποιεῖται διάκρισιν, ἀλλ' ἁπλῶς· Πᾶν δένδρον μὴ ποιοῦν καρπὸν καλὸν ἐκκόπτεται, φησί, τοὺς ἀπίστους ἁπλῶς καλεῖ· μὴ γὰρ τὸ βάπτισμα διαιρεῖν ἵνα ἐργάζεται, ὅτι πολλοὶ τῶν πιστευσάντων ἀνάξιον ἔμειναν τῆς πίστεως ἐπιδεικνύμενοι βίον. μηδεὶς τοίνυν ἀνέσθω ἀμελῶν, μηδεὶς δυσέλπιστος ἔστω, μηδὲ πονηρᾶς ἐπιθυμίας παρεισέλθῃ, πάντα γὰρ ῥᾳδίως ἐστὶν ἀνατρέπεσθαι. ἂν μὲν γὰρ μείνῃς σῖτος, κἂν πειρασμὸς ἐπενεχθῇ, οὐδὲν πείσει δεινόν (καὶ γὰρ καὶ τὰ ἄλωνα ἀμάσεις οἱ θερισταὶ οἱ τρισμεγίστης ⟨Ⓜ⟩ σῖτον διακρίνοντες) ἂν δὲ εἰς ἀκάρπου μεταπέσῃς ἀσθένειαν, καὶ ἐνταῦθα ἀπέκεσα πείσῃ κοπτόμενος ὑπὸ πάντων, καὶ ἐκεῖ τὸ ἀθάνατον ἐστερήσῃ κόλασιν. οἱ γὰρ τοιοῦτοι πάντες καὶ ἐκεῖ καμίνου θερμῆς τοῖς ἀλήστοις γίνονται ἐνταῦθα πάθεσιν, ὥσπερ δὲ ἄκαρπον τοῖς ἀλήστοις ζῶσι καὶ ἐκεῖ πάλιν ὕλη καὶ θερμὴ τοῦ πυρός. τὸ μὲν οὖν εἰπεῖν ἐξ οὐθείας, ὅτι αὐτοὺς δικάσει τοῖς γινομένοις, οὐχ ὅτως ἐποίει οὐδὲν ἀποδεδειγμένον· τὸ δὲ δυναμένη τῇ ἀποβολῇ καὶ ἐκ τούτης κατασκευάσας τὸ πᾶν, μᾶλλον ἔπειθε, καὶ μείζονος ἀπειλῆς ἐφείλκετο ⟨Ⓜ⟩ ἀκροατήν. διὰ δὲ τοῦτο πλείονα ὅτως αὐτὸς αὐτοῖς ἐμφανίζεται, ἄλωνα, καὶ ἀμητόν, καὶ ἀμπελῶνα, καὶ λιμόν, καὶ ἄρπαγα, καὶ σαγήνην, καὶ "ἁλιείαν, καὶ πάντα τὰ ζωνύντα καὶ ἐν οἷς" ἐτρέφοντο, τοῖς λόγοις μιγνὺς τοῖς αὐτοῦ. ὅπερ οὖν καὶ ὁ βαπτιστὴς ἐνταῦθα πεποίηκε, καὶ ἀπέδειξεν μείζονα πρόεχετο τῶν εἰρημένων, τὴν τοῦ πυρὸς δόσιν. ὁ γὰρ τοσαῦτα διαιρούμενος, ὡς δὲ ἁμαρτήματα ἀφήναι, καὶ πνεῦμα δοῦναι, καὶ ζωντανὸν πολλῷ μᾶλλον δωρήσεται, φησίν. Εἶδες πῶς ἤδη τὸ μυστήριον" προεκαταβάλλετο ἀκωλύτως τὴν ἀναστάσεως καὶ τὴν κρίσεως. καὶ τίνος ἕνεκεν, φησίν, οὐκ εἶπε τὰ θύρας ἐσόμενα περὶ αὐτοῦ σημεῖα καὶ τέρατα; ὅτι τοῦτο μεῖζον ἁπάντων ἦν, καὶ διὰ τοῦτο πάντα σκιὰν ἐγίνετο. τὸ γὰρ κεφάλαιον θεὶς, πάντα προεῖλατο, θανάτου" λύσιν, ἁμαρτημάτων ἀναίρεσιν, καταλλαγὰς ἀθυμισμόν, τῶν χθονίων πολέμων ἀπαλλαγήν, τὴν εἰς ⟨Ⓜ⟩ τοῦτο δόσιν εἴσοδον, τὴν εἰς οὐρανοὺς ἀνοδον, τὴν μετὰ ἀγγέλων πολιτείαν, τὴν τῶν μελλόντων ἀγαθῶν κοινωνίαν· τὰ γὰρ τοιαῦτα ἀρραβῶνα ἐκείνων ὄντα. Εἰπὼν τοίνυν τοῦτο, εἶπε καὶ τὴν τῶν σωμάτων λύσασιν, καὶ τὴν τῶν ἐνταῦθα σημείων ἐπίδειξιν, καὶ τὴν τῆς βασιλείας κοινωνίαν, καὶ τὰ ἀγαθά, Ἃ ὀφθαλμὸς οὐκ εἶδε, καὶ οὖς οὐκ ἤκουσε, καὶ ἐπὶ καρδίαν ἀνθρώπου οὐκ ἀνέβη. Ταῦτα γὰρ πάντα δι' ἐκείνου τοῦ μεγέθους

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ματος ἡμῖν παρέχεται. παρεπτὸν τοίνυν ἐστὶ παρὰ τῶν σημείων εἰπεῖν τῶν θείων ἐκδησομένων, καὶ τῆς ἐκ τούτων κρινομένων· ἀλλ' ὑπὲρ ἐκείνων ἔδει σφαλερῶς ἔχειν, ὧν ἀμφίβολον· οἷς, ὅτι υἱός Θεοῦ ἐστιν, ὅτι ὑπερέχων τοῦ Ἰωάννου ἀσυγκρίτως, ὅτι αἴρει τὰς ἁμαρτίας τοῦ κόσμου, ὅτι δικαίως ἅπαντι τῶν πεπραγμένων, ὅλη οὐ μέλλει τοῦ παρόντος καὶ ἡμέτερα, ἀλλ' ἐκ τῆς ἀξίας ἕκαστος ἀποστήσεται τιμωρίας. ταῦτα γὰρ ὁ Ἰωάννης ἐδήλωσεν πέρας τοῦ λόγου.

ΗΘΙΚΟΝ Ταῦτα οὖν εἰδότες, πολλῆς τῆς σπουδῆς χρώμεθα ἕως ἂν ὦμεν ἐν τῷ ἄλλῳ. ἡ γὰρ ἔξεσι [καὶ] ἐνταῦθα οὖσι δεῖξαι ἀχύρου μεταβαλλόμενα εἰς σῖτον, ὥσπερ οὖν καὶ ἀπὸ σίτου πολλοὶ γεγόνασιν ἄχυρον. μὴ τοίνυν ἀναπέσωμεν, μηδὲ ἀνέμῳ πάντι παρεφερώμεθα, μηδὲ τῶν ἀδελφῶν ἀποκλίνωμεν τῶν ἡμετέρων, κἂν μικροὶ δοκῶσιν εἶναι· ἡ βύτελεις· ἐπεὶ καὶ σῖτος τὸ ἄχυρον κατὰ μέγεθος, ἐλάττων, κατὰ τὴν φύσιν, βελτίων. μὴ δὴ τοὺς ἔξωθεν φιλοσοφίας ἴδῃς (τοῦ πυρὸς γὰρ εἰσι πρεσβυτάσμενοι) ἀλλὰ τὴν τοῦ Θεοῦ ταπεινότητα, τὴν φρᾶσιν ταύτην καὶ ἀσχάλυτον, καὶ τὰ μηθὲν μὴ δυναμένην, μηδὲ ἐπὶ τῶν πυρῶν κειμένην. διὰ τοῦτο καὶ τοῦ ἀχύρου μακροθυμεῖ, ἵνα ἀπὸ τῆς τοιᾶς αὐλῆς ὁμιλίας βελτίους γένωνται. διὰ τοῦτο ὑπὸ κεῖσε, ἵνα κοινῇ πάντες σφενδονῶμεν, ἵνα ἀπὸ πονηρίας πολλοὶ μεταβληθῶμεν εἰς ἀρετήν. φείδεσθε τοίνυν τῆς παβόλης ταύτης ἀκούοντες. καὶ γὰρ ἀσβεστόν ἐστιν ἐκεῖνο τὸ πῦρ. καὶ πῶς ἀσβεστόν, φησιν; οὐχ ὁρᾷς τοσοῦτον ἥλιον καιόμενον ἀεί, καὶ μηδέποτε σβεννύμενον; σὺ δὲ εἶδες τὸν βάτον καιόμενον, καὶ μὴ κατακαιόμενον; εἰ τοίνυν καὶ αὖθις βάλει διαφυγεῖν τὴν φλόγα, τὴν δυσηνεμοσιόλου παρεπόθεν, καὶ ὅτως οὐδὲ πείσεται λήψῃ τὸ πυρὸς ἐκεῖνο. ἂν μὲν γὰρ ἐνταῦθα πιστεύσῃς τοῖς λεγομένοις, οὐδὲ ὄψει τὴν κάμινον ταύτην ἀπελθὼν ἐκεῖσε· ἐὰν δὲ ἀπιστήσῃς αὐτῇ νῦν, ἐκεῖ διὰ τῆς πείρας εἰδὼς κακῶς, ὅτι ὅτε διαφυγεῖν δυνατόν. καὶ γὰρ ἀπραίτητος ἡ κόλασις τοῖς μὴ ὀρθὸν βεβιωκόσι βίον. οὐδὲ γὰρ ἔρχεται τὸ πιστεῦσαι μόνον, ἐπεὶ καὶ δαίμονες φείδονται τοῦ Θεοῦ, ἀλλὰ διὰ τοῦτο νεμεσηθήσονται· διὰ πολλῆς ἡμῖν τῆς τοῦ βίου διορθώσεως δεῖ. διὰ τοῦτο καὶ ἐνταῦθα ὑμᾶς σωρηδὸν σωάγομεν, οὐχ ἵνα εἰσέλθητε μόνον, ἀλλ' ἵνα τι καὶ καρπώσησθε ἀπὸ τῆς ἐνταῦθα διατριβῆς. ἂν δὲ παραγένησθε μὴ ἀεί, μηδὲν ὑπὲρ ἐνταῦθεν καρπούμενοι ἀναχωρῆτε, μηδὲ τῆς ἐνταῦθα εἰσόδου καὶ παρεδρίας ἕξαι τι πλέον. εἰ γὰρ παιδία παρὰ διδασκάλου πέμποντες, ἂν ἴδωμεν ἐκεῖθεν μηδὲν καρπούμενα, σφοδρὰ κατηγορεῖ τῶν διδασκάλων γνώμη, καὶ παρὰ ἑτέρους αὐτὰ μέλισσαμεν πολλάκις· ἵνα ἔξωθεν ἀπολογίαν, μηδὲ, ὅσην ἐν τοῖς γήινοις τούτοις, τοσαύτην τῆς ἀρετῆς παρέχοντες τοῦ σπουδαίου, ἀλλὰ κενὰς ἀεὶ τὰς δέλτους οἴκαδε φέροντες· καὶ τοι γε πλείους καὶ μείζους ἐνταῦθα ⓐ διδάσκαλοι· ὁ γὰρ παρὼν καὶ ἀποστόλους καὶ πατριάρχας καὶ δικαίους ἅπαντας καθ' ἑκάστην ὑμῖν ἐφιστῶμεν ἐκκλησίαν διδασκάλους· καὶ οὐδὲ ὅταν γένεται τι πλέον· ἀλλὰ δύο ψαλμοὺς ἢ τρεῖς εἰπόντες καὶ τὰς συνήθεις εὐχὰς ἁπλῶς δὲ ὡς ἔτυχε ποιούμενοι διαλυθῆτε, νομίζετε ἀρκεῖν τοῦτο εἰς σωτηρίαν ὑμῖν. οὐκ ἠκούσατε τοῦ προφήτου λέγοντος, μᾶλλον δὲ τοῦ Θεοῦ διὰ τοῦ προφήτου, Ὅτι ὁ λαὸς οὗτος τοῖς χείλεσί με τιμᾷ, ἡ δὲ καρδία αὐτῶν πόρρω ἀπέχει ἀπ' ἐμοῦ; ἵν' οὖν τοῦτο μὴ γένηται καὶ ἐφ' ἡμῶν, ἐξαλείφωμεν τὰ γράμματα, μᾶλλον δὲ τὰ χαράγματα, ἅπερ ὁ διάβολος ἐνετύπωσέ σου τῇ ψυχῇ, καὶ φέρε μοι καρδίαν βιωτικῶν ἀπηλλαγμένην θορύβων, ἵνα μὴ ἀδείας, ἃ βούλομαι, ἐξεράω. ὡς νῦν γε οὐδὲν ἕτερόν ἐστι γινώσκειν, ἢ τὰ ἐκείνου γράμματα, ἁρπαγάς, πλεονεξίας, φθόνον, βασκανίαν. διὰ δὴ τοῦτο, ὅταν τὰς δέλτους λάβωμεν ὑμετέρας, οὐδὲ ἀναγνῶναι δυνάμεθα. ὁ γὰρ βδελυκτὸν τὰ γράμματα, ἅπερ ἡμεῖς κατὰ κυριακὴν ἐγγράφοντες ὑμῖν ἀφίεμεν· ἀλλ' ἕτερα ἀντ' ἐτέρων, ἄσπιλα καὶ διεσταλμένα· εἶτα, ὅταν ἐξαγείραντες αὐτὰ, γράψωμεν τὰ ἀπὸ τοῦ πνεύματος, ἀπελθόντες ὑμεῖς, καὶ ταῖς διαβολικαῖς

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

λικῆς ἐνεργείας δόντες τὰς καρδίας ὑμῶν, πρέχετε ἐκείνῳ πάλιν τὰ ἑαυτοῦ διτεθεράφειν ὑμῖν. Τί οὖν ἔσται τούτων τὸ πέρας; καὶν ἐγὼ μὴ λέξω, τὸ ἐκάστου σωφρὸς οἶδεν. ἐγὼ μὲν γὰρ οὐ παύσομαι τὸ ἐμαυτοῦ ποιῶν, ἀλλὰ τὰ ὀρθὰ γράμματα ἐγλεφάρων. Εἰ δ' ὑμεῖς λυμήνεσθε ἡμῶν τῷ κοσμίῳ, ἡμῖν μὲν ὁ μισθὸς ἀκίνητος· ὑμῖν δὲ μικρὸς ὁ κίνδυνος. ἀλλ' οὐδὲν βούλομαι φορτικὸν εἰπεῖν· ἀλλὰ δέομαι πάλιν καὶ παρακαλῶ, καὶ τῶν παίδων τε μικρῶν μιμήσασθε τὸν σοφὸν τοῦτον κοσμίῳ. καὶ γὰρ ἐκεῖνοι πρῶτον μὲν τὸν τύπον μανθάνουσι τῶν στοιχείων· ἔπειτα διεγραμμένα αὐτὰ γινώσκειν μελετῶσι· καὶ τότε καὶ ὅτι τῆς ἀναγνώσεως ὁδῷ βαδίζουσι τῇ ἀρχῇ ἐκείνων. οὕτω δὴ καὶ ἡμεῖς ποιῶμεν· διελθόντες τὸν ἀρετὴν, μανθάνωμεν πρότερον τὸ μὴ ὀμνύειν, μηδὲ ἐπιορκεῖν, μηδὲ καταγορεῖν· εἶτα, ἐπ' ἄλλο στοιχεῖον ἐλθόντες, τὸ μὴ βασκαίνειν, μηδὲ σωμάτων ἐρᾶν, μὴ γαστρίζεσθαι, μὴ μεθύσκεσθαι· μὴ ὠμοί, μὴ νωθεῖς, ἵνα ἀπὸ τούτων πάλιν εἰς τὰ πνευματικὰ μεταβάντες, μελετῶμεν ἐγκράτειαν καὶ γαστρὸς ἀκροφιδίαν, σωφροσύνην, δικαιοσύνην, τὸ δεξιᾶς εἶναι κρείττονας, καὶ ἐπιεικεῖς, καὶ τῇ διανοίᾳ σωτετειμένους, καὶ σωφρονοῦντας ταῦτα ἀλλήλοις, καὶ ἐγγεγράφωμεν ἡμῶν τῇ ψυχῇ. καὶ ταῦτα ὅπου τῆς οἰκίας, ὅπου τῶν φίλων, ὅπου τῆς γυναικός, ὅπου τῶν παίδων γυμνάζωμεν ἅπαντα· καὶ τέως ἀπὸ τῶν προφανῶν ἀρξώμεθα τῶν εὐκολωτέρων, οἷς ἀπὸ τοῦ μὴ ὀμνύειν, καὶ τοῦτο συνεχῶς μελετῶμεν τὸ στοιχεῖον ὅπου τῆς οἰκίας. καὶ γὰρ πολλοὶ τῷ ἐμποδίζοντες οἶκοι τῇ μελέτῃ ταύτῃ. καὶ γὰρ οἰκέτης παροξύνει, καὶ γυνὴ λυπηθεῖσα εἰς ὀργὴν ἐμβάλλει, καὶ παιδίον ἀμαθαῖνον καὶ ἀτακτοῦν εἰς ἀπειλὴν καὶ ὀργὴν ἄγει. ἂν τοίνυν ὅπου τῆς οἰκίας συνεχῶς ἀπὸ τούτων παιδαγωγούμενος, κατορθώσῃς τὸ μὴ παροργισθῆναι εἰς ὀργάς, εὐκόλως καὶ ὅπου τῆς ἀγορᾶς δυνήσῃ μείναι ἀνάλωτος. ἀλλὰ μέλλει σε τὸ μὴ ὑβρίζειν κατορθώσειν, μήτε τὴν γυναῖκα ὑβρίζων, μήτε τὸν οἰκέτην, μήτε τῶν ὅπου τῆς οἰκίας ἕτερόν τινα. καὶ γὰρ γυνὴ πολλάκις ἐπαγρύσα τὸν δεῖνα καὶ παλαίζουσα ἑαυτῇ, ὀξύνει εἰς τὸ κακῶς εἰπεῖν. ἀλλὰ σὺ μὴ ἀνάσχου κατηγορῆσαι τὸν ἐπαινούμενον, ἀλλὰ φέρε πρῶτα γενναίως. καὶν σοῦ οἰκέτης ἕτερος ἐπαινοῦται δεσπότης ἴδῃς, μὴ ταράχθῃς, ἀλλὰ ζήτει γενναῖος. ἀγὼν ἔστω καὶ παλαίστρα ἀρετῆς ἡ οἰκία, ἵνα σκληραλῶς γυμνασάμενος, μετὰ πολλῆς τῆς ἐπιστήμης τοῖς ἐν ἀγορᾷ προσβάλλῃς. τοῦτο καὶ ὅπου τῆς κενοδοξίας ποιεῖ. ἂν γὰρ μελετήσῃς μὴ κενοδοξεῖν ὅπου τῆς γυναικὸς καὶ τῶν τέκνων καὶ τῶν οἰκετῶν, ἐπ' οὐδένος λοιπὸν ἕτερου ῥᾳδίως ἁλώσῃ τούτῳ τῷ πάθει. πολλαχοῦ μὲν γὰρ τὸ νόσημα τοῦτο χαλεπὸν καὶ πυρετικόν, μάλιστα ὅταν γυνὴ πρᾷ. ἂν τοίνυν σκληρὰ καταλύσωμεν αὐτὸ τοῖς ἰσχνοῖς, ῥᾳδίως αὐτὸ καὶ ἐν τοῖς ἄλλοις προελευσόμεθα. καὶ ὅπου τῶν ἄλλων ὧν παθῶν τὸ αὐτὸ τοῦτο ποιεῖν, ὅπου τῆς οἰκίας γυμναζόμενοι κατ' αὐτῶν, καὶ καθ' ἑκάστου ἀλιφόμενοι τοῖς ἡμέτερον. καὶ ἵνα εὐκολωτέρα ἡμῖν ἡ γυμνασία γένηται, καὶ ὅπου τίμιον καθ' ἑαυτῶν ἐκφέρωμεν, ὅταν τι τῶν προκειμένων παραβαίνωμεν. ἔστω δὲ καὶ τὸ ὅπου τίμιον πάλιν, μὴ ζημίαν, ἀλλὰ μισθὸν ἔχον, καὶ κέρδος προξενοῦν μέγιστον. τοῦτο δέ ἐστιν, ἂν νηστείας ὅπου τεταμένας ἑαυτοῖς καταδικάζωμεν καὶ χαμευνίας, καὶ ἑτέρα τοιαύτη σκληραγωγία. οὕτω γὰρ πολλὰ ἡμῖν ἐκ τούτου κέρδη· καὶ ἐν ταύτῃ ἡδέως τῆς ἀρετῆς βιωσόμεθα βίον, καὶ τῶν μελλόντων ὅπου τυγχάνομεν ἀγαθῶν, καὶ τοῦ Θεοῦ διὰ παντὸς ἐσόμεθα φίλοι. ἀλλ' ὅπως [ἂν] μὴ τὰ αὐτὰ ῥηθῇ πάλιν, καὶ θαυμάσαντες ἐν ταύτῃ τὰ εἰρημένα, ἀπελθόντες ἁπλῶς καὶ ὡς ἔτυχε τοῦ δέλτου τῆς διανοίας ὑμῶν ῥίψαντες, παραφήνητε τῷ ἀγκύλῳ ταῦτα ἀξυγῆναι, καὶ ἀναχωρήσας οἴκαδε ἕκαστος καλείτω τὴν γυναῖκα τὴν ἑαυτοῦ, καὶ ἀπαγγελλέτω ταῦτα καὶ λαμβανέτω βοηθὸν, καὶ ἀπὸ τοῦ σήμερον ἡμέρας εἰς τὸν καλὸν ταύτην εἰσίτω παλαίστραν, ἐλαίῳ τῇ τοῦ πνεύματος χρώμενος χορηγίᾳ. καὶν ἅπαξ, καὶν δίς, καὶν πολλάκις καταπέσῃς γυμναζόμενος, μὴ ἀπογνῷς, ἀλλὰ ἔχῃ πάλιν καὶ παλαίσον, καὶ μὴ πρότερον ἀποχῇς, ἕως ἂν λαμπρὸν λύσασιν καὶ τοῦ ἀγκύλου τὸν στέφανον, καὶ ἐν ἀσύλῳ θησαυρῷ λοιπὸν τῆς ἀρε-

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Ἵνα γὰρ μὴ λέγῃς· τί οὖν, ἂν ἀδικῶμαι; τί οὖν, ἂν ἁρπάζωμαι καὶ εἰς δικαστήριον ἕλκωμαι; καὶ ταύτην ἀνεῖλε τὴν ἀφορμὴν καὶ τὴν πρόφασιν. κελεύει γὰρ μηδὲ οὕτως ἐχθραίνειν. εἶτα, ἐπειδὴ τοῦτο μέγα ἦν τὸ ἐπίταγμα, ἀπὸ τῶν παρόντων πιστοῦται τὴν συμβουλήν, ἃ [καὶ] τοὺς παχυτέρους μᾶλλον τῶν μελλόντων κατέχειν εἴωθε. τί γὰρ λέγεις, φησίν; ὅτι δυνατώτερός ἐστι καὶ ἀδικεῖ; οὐκοῦν μᾶλλόν σε ἀδικήσει, ἐὰν μὴ καταλύσῃς, ἀλλ' ἀναγκασθῇς εἰς δεσμωτήριον ἐλθεῖν. τότε μὲν γὰρ χρημάτων ἀποστάς, τὸ σῶμα ἕξεις ἐλεύθερον· ὑπὸ δὲ τῇ ψήφῳ γινόμενος τοῦ δικαστοῦ, καὶ δεσμευθήσῃ, καὶ τὴν ἐσχάτην δώσεις δίκην. ἂν δὲ φύγῃς τὴν ἐκεῖ μάχην, δύο καρπώσῃ καλά· καὶ τὸ μηδὲν παθεῖν ἀηδές, καὶ τὸ σὸν γενέσθαι τὸ κατόρθωμα λοιπόν, καὶ μηκέτι τῆς ἐκείνου βίας. εἰ δὲ οὐ βούλει πεισθῆναι τοῖς λεγομένοις, οὐκ ἐκεῖνον ἀδικήσεις τοσοῦτον, ὅσον σαυτόν. ὅρα δὲ καὶ ἐνταῦθα πῶς αὐτὸν ἐπάγει. εἰπὼν γάρ, ἴσθι εὐνοῶν τῷ ἀντιδίκῳ σου, ἐπήγαγε, ταχύ. καὶ οὐκ ἠρκέσθη τούτῳ, ἀλλὰ καὶ ταύτης τῆς ταχύτητος ἑτέραν ἐζήτησεν ἐπίτασιν, εἰπών· ἕως ὅτου εἶ ἐν τῇ ὁδῷ μετ' αὐτοῦ, διὰ τούτων ὠθῶν αὐτὸν καὶ κατεπείγων μετὰ πολλῆς τῆς σφοδρότητος. οὐδὲν γὰρ οὕτω τὸν βίον ἀνατρέπει τὸν ἡμέτερον, ὡς τὸ μέλλειν καὶ ἀναβάλλεσθαι ἐν τῇ τῶν ἀγαθῶν ἐργασίᾳ. πολλάκις γοῦν τοῦτο καὶ ἐκπεσεῖν ἡμᾶς τοῦ παντὸς ἐποίησεν. ὥσπερ οὖν καὶ ὁ Παῦλός φησι· πρὶν ἢ τὸν ἥλιον δῦναι, λῦσον τὴν ἔχθραν· καὶ ἐν τοῖς ἔμπροσθεν αὐτός, πρὶν ἢ τὴν προσφορὰν ἀπαρτίσαι, καταλλάγηθι. οὕτω καὶ ἐνταῦθά φησι, ταχύ, ἕως ὅτου εἶ ἐν τῇ ὁδῷ μετ' αὐτοῦ, πρὶν ἐπὶ τὰς θύρας ἐλθεῖν τοῦ δικαστηρίου, πρὶν ἢ τῷ βήματι παραστῆναι, καὶ γενέσθαι λοιπὸν ὑπὸ τῇ τοῦ δικάζοντος ἐξουσίᾳ. πρὸ μὲν γὰρ τῆς εἰσόδου, σὺ κύριος εἶ τοῦ παντός· ἐὰν δὲ ἐπιβῇς ἐκείνων τῶν προθύρων, οὐδὲ σφόδρα σπουδάζων δυνήσῃ τὰ καθ' ἑαυτόν, ὡς βούλει, διαθεῖναι, ὑπὸ τὴν ἑτέρου γινόμενος ἀνάγκην. τί δέ ἐστιν εὐνοεῖν; ἢ τοῦτό φησιν, ὅτι καταδέχου μᾶλλον ἀδικεῖσθαι, ἢ οὕτω δίκασον τὴν δίκην, ὡσανεὶ τὴν ἐκείνου τάξιν ἔχων, ἵνα μὴ τῇ φιλαυτίᾳ τὸ δίκαιον διαφθείρῃς, ἀλλ' ὡς περὶ οἰκείου, τοῦ ἀλλοτρίου βουλευόμενος πράγματος, ἵνα ταύτην ἐξενέγκῃς τὴν ψῆφον. εἰ δὲ μέγα τοῦτο, μὴ θαυμάσῃς. διὰ γὰρ τοῦτο πάντας ἐκείνους ἔθηκε τοὺς μακαρισμούς, ἵνα προλεάνας καὶ προπαρασκευάσας τοῦ ἀκροατοῦ τὴν ψυχήν, ἐπιτηδειοτέραν ἐργάσηται πρὸς τὴν ὑποδοχὴν τῆς νομοθεσίας ταύτης ἁπάσης. τινὲς μὲν οὖν τὸν διάβολον αὐτὸν αἰνίττεσθαί φασι τῇ τοῦ ἀντιδίκου προσηγορίᾳ, καὶ κελεύειν μηδὲν ἔχειν τῶν ἐκείνου (τοῦτο γὰρ εἶναι τὸ εὐνοεῖν αὐτῷ) ὡς οὐκ ἐνὸν διαλύσασθαι μετὰ τὴν ἐντεῦθεν ἀπαλλαγήν, τῆς ἀπαραιτήτου λοιπὸν ἐκδεχομένης ἡμᾶς κολάσεως. ἐμοὶ δὲ περὶ τῶν ἐνταῦθα δοκεῖ λέγειν δικαστῶν, καὶ τῆς ἐπὶ τὸ δικαστήριον ὁδοῦ, καὶ τοῦ δεσμωτηρίου τούτου. ἐπειδὴ γὰρ ἀπὸ τῶν ὑψηλοτέρων ἐνέτρεψε καὶ τῶν μελλόντων, καὶ ἀπὸ τῶν ἐν τῷ παρόντι βίῳ φοβεῖ. ὅπερ οὖν καὶ ὁ Παῦλος ἐργάζεται, ἀπὸ

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

τε τῶν μηγόντων, ἀπό τε τῶν πρόντων ἀναγων τ' ἀκροατήν· οἵ, ὡς ὅταν ἀπάγων καχίας,
ἔκστ. πρ. τ' ἀρχοντα ὁπλιζόμενον" δεικνύη ὦ πονηρευόμενε, ὅτω λέγων· Ἐὰν δὲ τὸ κακὸν ποιῆς, φο- Ρα. ιγ. δ.
βοῦ. ὁ γὰρ εἰκῆ τὴν μάχαιραν φορᾷ· Θεοῦ γάρ" ἐξάκεστός ἐστι. καὶ πάλιν κελεύων ἐκστατικὸς
σεσθαι αὐτῷ, ὁ τ' τοῦ Θεοῦ φόβον ἔχοντι μόνον, ἀλλὰ καὶ τὴν ἀπειλὴν τὴν ἐκείνου καὶ τὴν
κηδεμονίαν. ἀνάγκη γὰρ ἐκστατικὸς εἶναι, ὁ μόνον ἐκ τῆς ὀργῆς, ἀλλὰ καὶ ἐκ τῆς εἰωθείας
σιν. εἰσὶν γὰρ ἀληθινώτερα, ὅπερ ἔφθην εἰπών, ταῦτα μᾶλλον εἶναι δεῖ πιστεύειν τὰ φαινό-
μενα ἢ τοῖς ποσὶ βάδην. διὸ καὶ ὁ Χριστὸς οὐ γεέννης μόνον ἐμνημόνευσεν, ἀλλὰ καὶ δικαστηρίου
παγωγῆς καὶ" ἀπαγωγῆς καὶ δεσμωτηρίου, καὶ τῆς ἐκεῖ παλαιπωρίας ἁπάσης, ἐκ πάντων τούτων ταῖς
ρίζας ἀναιρῶν τοῦ φόνου. ὁ γὰρ μήτε λοιδορούμενος, μήτε δικαζόμενος, μήτε τινὰ ἕξειν
κτείνων, πῶς φονεύσει ποτέ; ὥστε καὶ ἐντεῦθεν δῆλον, ὅτι ἐν τῷ τὸ πλησίον συμφέροντι ὁ ἡ-
μέτερον κεῖται συμφέρον. ὁ γὰρ τῷ ἀντιδίκῳ βοηθῶν, πολλῷ" μείζονα ἑαυτὸν ὠφελήσει,
δικαστηρίων καὶ δεσμωτηρίων καὶ τῆς ἐκεῖ παλαιπωρίας ἑαυτὸν ἀπαλλάττων.

Πειθώμεθα τοίνυν τοῖς λεγομένοις, καὶ μὴ ἀντεινώμεθα, μηδὲ ἀντιφιλονεικῶμεν. μάλιστα μὲν ΗΘΙΚΟΝ
γὰρ καὶ τὸ ἐπάθλων ἐν ἑαυτοῖς ἔχει τὴν ἡδονὴν καὶ τὴν ὠφέλειαν τὰ ἐπιτάγματα ταῦτα. εἰ
δὲ τοῖς πολλοῖς ἐπαχθῆ εἶναι δοκεῖ καὶ πολλὰ προσέχειν τὸν πόνον, ἐννόησον ὅτι ἐκ τῆς Χριστοῦ ταῦτα
ποιεῖς, καὶ ὃ λυπηρὸν ἔσται ἡδύ. ἐὰν γὰρ τὸν λογισμὸν τοῦτον ἔχωμεν ἐκ παντὸς, ὅτι δεινός πειρασόμεθα
φορητὸν, ἀλλὰ πολλὴν πόθεν χαρπωσόμεθα τὴν ἡδονήν. ὁ γὰρ πόνος οὐκ ἔστι πόνος φανεῖται·
ἀλλ' ὅσῳπερ αὖ ἐπιτείνῃς, τοσούτῳ γλυκύτερος καὶ ἡδίων ἔσται. ὅταν τοίνυν ἡ ζημία
θῇ σε τὸ κακὸν ζηλοῦσα, καὶ ἡ τῶν χρημάτων ἐπιθυμία, ἀνίστω αὐτῇ τὸν λογισμὸν
κεῖνον λέγοντα, ὅτι πολλὴν ληψόμεθα μισθὸν τῆς παρούσης καταφρονήσαντες
ἀλλὰ μὴ ἀ- ἡδονῆς· καὶ εἰς τὸν ὕστερον [πόνον] ἀθυμεῖς, ὅτι σε ἡδονῆς ἀποστερῶ· * ἀλλ' εὐ-
νόμει, φρανίνου, ὅτι σοι τὸ μέρος παρέξω· καὶ δι' ἀνθρώπων ποιεῖς, ἀλλὰ διὰ τὸν Θεόν. καὶ ἄκουε
τοίνυν μικρὸν, καὶ ὅλως ὁ κέρδος κλίκων· καρτέρησον τὸν παρόντα βίον, καὶ λήψῃ παῤῥησίαν
ἄφατον. ἀνὴρ γὰρ τοιαῦτα αὐτῇ διαλεγόμεθα, καὶ μὴ μόνον τὸ φορτικὸν ἀνασκάπτομεν τῆς ἔρε-
τῆς, ἀλλὰ καὶ τὸν ἐξ αὐτῆς λογιζώμεθα τέφανον, ταχέως αὐτὴν κακίας ἀποστήσομεν ἁ-
πάσης. εἰ γὰρ ὁ διάβολος δεικνὺς τὸ μὴ ἡδὺ παρασκευὴν, τὸ δὲ ὀδυνηρὸν διωκτὸν, ὅμως
ἰσχὺς καὶ πείθει· ὅταν ἀνυστρόφως πρὸς ἡμᾶς ταῦτα" φαίνῃ, τὸ μὲν ὀδυνηρὸν, παρασκα-
ἔστι. ζόμενον, τὸ δὲ ἡδὺ καὶ ζητούμενον, ἀθάνατον, ὃς ἡμῖν" ἔστι λόγος μὴ μεταδοῦναι ἔρετὴν μὴ τοσαύ-
ἔστι. την παραμυθίαν; ἀρκεῖ γὰρ ἡμῖν ἀντὶ πάντων ἡ τῶν πόνων ἀποθέσις, καὶ τὸ πεπεῖσθαι σα-
φῶς, ὅτι ἐκ τοῦ Θεοῦ ἀπολαμβάνομεν ταῦτα πάντα. εἰ γὰρ τὸν βασιλέα ἔχων τις ὀφειλέ-
την, ἀρκεσθεὶς εἰς πάντα νομίζει τὸν βίον ἀσφάλειαν ἔχειν, ἐννόησον ἡλίκος ἐστὶν ὁ τὸν φι-
λάνθρωπον καὶ ἀεὶ ζῶντα Θεὸν, καὶ μικρῶν καὶ μεγάλων κατορθωμάτων χρεώστην ἑαυτῷ
καταστήσας. μὴ τοίνυν παραβάλλου μοι πόνους καὶ ἱδρῶτας. οὐδὲ γὰρ τὴν τῶν μηγόντων ἐλ-
πίδι μόνον, ἀλλὰ καὶ ἑτέρῳ τρόπῳ κούφην τὴν ἄρετὴν ἐποίησεν ὁ Θεός, συναφαπτόμενος
ἡμῶν πάντα χρόνον καὶ συναναλαμβανόμενος. καὶ βουληθῆς μόνον ὀλίγον εἰσενεγκεῖν προ-
θυμίαν, τὰ ἄλλα πάντα ἕπεται. ὀργὴ γὰρ τοῦτο βούλεται καὶ σὲ μικρὰ πονῆσαι, ἵνα καὶ σὴ νίκη
λάμπῃ. καὶ καθάπερ βασιλεὺς βούλεται μὲν ἐκ παῖδα πρᾶξαι ὅπερ τῆς παραταξέως,
καὶ τοξεύειν, καὶ φαίνεσθαι, ὥστε αὐτῷ λογισθῆναι τὸ ἔργον, ὃ ἂν πᾶν αὐτὸς λύσῃ· ὅταν καὶ ὁ
Θεὸς ἐν τῷ πολέμῳ τῆς καθ' ἡμῶν ποιῇ. ἓν γὰρ ἀπαιτεῖ παρὰ σοῦ μόνον, ὥστε ἐκ-
θρὸν εἰς ἐκεῖνον ἐπιδείξασθαι γνησίαν· καὶ" ταῦτα αὐτῷ παράσχῃς, αὐτὸς πάντα
δύει πόλεμον. καὶ" ὀργὴ φλεγμαίνη, καὶ χρημάτων" ἐπιθυμία, καὶ ὁτιοῦν ἕτερον
πάθος τυραννικὸν παραγίνηται," ταχέως, ἂν ἴδῃ σε μόνον εἰς τὸν ἀποδυόμενον καὶ πρὸς
σκευασμένον, καὶ ῥᾴδια πάντα ποιεῖ, καὶ ἀνώτερον ἴσχυσε τῆς φλογός, καθάπερ οὖν παῖδας τό-
τε ἐκείνους ἔδει τῆς Βαβυλωνίας καμίνου. καὶ γὰρ ἐκείνοι πλέον οὐδὲν τῆς γνώμης εἰσήνεγ-
κεν.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

κων. ἵν' οὖν ⸂ἡμεῖς, πᾶσαν κάμινον ἡδονῆς ἀζήλου καταλύσαντες ἐνταῦθα, τῷ ἐκεῖ
μὴ φύγωμεν γέενναν, ταῦτα καθ' ἑκάστην ἡμέραν ⸃ βυλευώμεθα καὶ μεμνώμεθα καὶ κ'. ιβ.
προσπτώμεν, τῇ τε τοῦ ⸂ἁγαθοῦ προσθέσει, καὶ ταῖς πυκναῖς εὐχαῖς τὸ Θεοῦ τῷ εὔνοιαν
ἐπισπώμενοι. ὅπου γὰρ καὶ τὰ δικαιώματα ἀφόρητα ⸂εἰ νεῶ, ῥᾴσα ἔσται ⸃ καὶ σοφὰ καὶ ἐπέραστα. κ'. ιγ.
ἕως μὲν γὰρ ἐν τοῖς πάθεσιν ὦμεν, τραχεῖαν καὶ δύσκολον καὶ ⸂ἀνάντη τὴν ἀρετὴν εἰ νομί- 5
ζομεν, τὴν ⸃ κακίαν ποθεινὴν καὶ ἡδίστην· ἂν δὲ μικρὸν ἀποστῶμεν τούτων, τότε καὶ κείνην φα-
νεῖταν βδελυρὰ καὶ δυσειδῆ, καὶ αὖτη ῥᾳδία καὶ εὔκολος καὶ ποθεινή. καὶ ταῦτα ἐκ τῶν κα-
τωρθωκότων ⸂ἐστὶ φανῶς μαθεῖν. ἀκουσον γοῦν πῶς ὁ Παῦλος ἐκεῖνα μὲν καὶ μὴ τὴν ἀπαλ-
λαγὴν ἀγαπᾷ, λέγων· Τίνα γὰρ καρπὸν εἴχετε τότε, ἐφ' οἷς νῦν ἐπαισχύνεσθε; Ρω. ς. κα.
ταύτην ⸃ καὶ μὴ ⸂ πόνον καθεῖναί φησι, δι' ὧν ἔπαθε τῆς θλίψεως καὶ ὅτι πόνον ἐ- 10
λαφρὸν καὶ ⸃ κενῶν, καὶ χαίρων ἐν τοῖς παθήμασι, δι' ἀγαλλόμενος ἐν ταῖς θλίψεσι, καὶ μέγα
φρονῶν ὅτι τοῖς στίγμασι τοῖς ⸂ἐμοῖ Χριστοῦ. ἵν' οὖν καὶ ἡμεῖς ἐν ταύτῃ καθιστῶμεν τῇ ἕξει,
τοῖς ⸃ εἰρημένοις καθ' ἑκάστην ἡμέραν ἑαυτοὺς ⸂ρυθμίζοντες, καὶ τῶν μὲν ὄπισθεν ὑπιλανθανόμε-
νοι, τοὺς δὲ πρόσθεν ἐπεκτεινόμενοι, διώκωμεν ὅπι ⸃ τὸ βραβεῖον τῆς ἄνω κλήσεως·
οὗ γένοιτο πάντας ἡμᾶς ὑπιτυχεῖν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, 15
ᾧ ἡ δόξα καὶ τὸ κράτος, εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Ομιλ. ιζ. 27 ΗΚΟΥΣΑΤΕ ΟΤΙ ΕΡΡΕΘΗ ΤΟΙΣ ΑΡ-

ρχαίοις, οὐ μοιχεύσεις. 28 Ἐγὼ δὲ λέγω ὑμῖν, ὅτι πᾶς ὁ
⸂ἐμβλέπων γυναικὶ πρὸς τὸ ἐπιθυμῆσαι⸃ αὐτὴν, ἤδη ἐμοίχευσεν 20 κ'. βλέ-
αὐτὴν ἐν τῇ καρδίᾳ αὐτοῦ. γωνῶν κ'. αὐτὴ.

Παρρησίας * τὴν πρότερον ἐντολήν, καὶ εἰς ⸂ἄκρον φιλοσοφίας αὐ- * τοῖνυν κ'. ἄκρα λοσοφίαν
τὴν ἐκτείνας, ὁδῷ καὶ τάξει προβαίνων, λοιπὸν ὅτι τὴν δευτέ-
ραν προῄσει, καὶ ταῦτα τοῦ νόμου πειθόμενος. καὶ μὴν οὐ δευτέ- 25
ρα αὕτη, φασὶν, ἀλλὰ πρώτη. οὐ γὰρ προτέρα ἐστὶν, οὐ φονεύσεις·
ἀλλὰ Κύριος ὁ Θεός σου, Κύριος εἷς ἐστι. διὰ τί ζητῶμεν ἄξιον, οὗτος
ἕνεκεν ταῦτα ἐκράξατο, τίνος οὖν ἕνεκεν; ὅτι ἀργύριον ἐκράξατο, ἔ-
δει καὶ αὐτὴν αὐξῆσαι, καὶ ἑαυτὸν ζημιοῦσθαι ἐποίησε. διὰ τοῦτο ὁ κύριος μὴ σοι δόξῃ ἑαυτῷ διδάσκειν τι
τοιοῦτον· ἀλλως γ', καὶ ⸂ ἡλίκον τέως ἐγύμναζε λέγων, ἐν τούτῳ βουλόμενος προάγειν, καὶ ἐκ 30
τῶν ⸃ θαυμάτων πεῖσαι τοὺς ἀκούοντας, ὅτι υἱὸς ἦν τοῦ Θεοῦ. τί μοι οὖν εὐθέως, πρὶν ἢ τι φθέγ-
ξασθαι καὶ ποιῆσαι, λέγει· ἠκούσατε ὅτι ἐρρέθη τοῖς ἀρχαίοις, ἐγὼ Κύριος ὁ Θεός σου, καὶ
πλὴν ἐμοῦ ⸂ἐκ ἔστιν ἄλλος, ἐγὼ δὲ λέγω ὑμῖν καὶ ἐμὲ προσκυνῆν ὡς ἐκεῖνον, ἐποίει πανταχοῦ
ὡς μαινομένῳ προσέχειν αὐτῷ. Εἰ γὰρ καὶ μὴ τὴν διδασκαλίαν καὶ τὰ τοσαῦτα σημεῖα Ιω. ιι. νβ.
οὐδέπω φανερῶς αὐτὸ τοῦτο λέγοντος, δαιμονᾶν ⸃ ἐκάλουν, εἰ ⸂ πρὸ τούτων ἀπῄτουν καὶ κ'. ι.
ἐπεχείρησέ τι τοιοῦτον εἰπεῖν, τί ⸃ ἂν δῆτ' εἶπον; τί ⸂ ἂν δῆτ' ἐνόησαν; ταῦτ' ⸃ ἂν καιρῷ ταῖς
προσηκούσαις τῶν ἀκροατῶν διδασκαλίαις, εὐπαράδεκτον ἐποίει τοῖς πολλοῖς γίνε-
σθαι τὸ δόγμα. διὸ περ νῦν μὴ αὐτὸ πρόεδρον, ἀπὸ τῶν σημείων αὐτὸ πιστωσάμενος κατα-
σκευάσας καὶ τῆς ἀρίστης διδασκαλίας· ὕστερον ⸂ δὲ αὐτὸ καὶ διὰ ῥημάτων ἐξεκάλυψε. νῦν μὲν
τοι τῇ τῶν σημείων ὑπεδείξει ⸃ αὐτῷ τῆς διδασκαλίας τὸ ⸂ὄφος καὶ μικρὸν καὶ ῥᾴδιον αὐ-
τὸ ⸃ ἐδείκνυσι. τὸ γὰρ μετ' ἐξουσίας καὶ τοιαῦτα νομοθετεῖν καὶ διορθοῦν, κ'. προ-
νυσι.
Ματθ. ζ. κθ. στέροντα καὶ νοῦν ἔχοντα ⸂ δύνασθαι καὶ τῷ⸃ δόγματος λόγον. Ἐξεπλήττοντο γὰρ κ'. ἐνῆν
Μαρκ. α. κβ. αὐτὸν, φησὶν, ὅτι οὐχ ὡς ⸂ γραμματεὺς αὐτῶν ἐδίδασκεν. ἐξῄρητο γὰρ ἀπὸ τῶν γε- αὐτῷ.
νικωτάτων ἐν ἡμῖν παθῶν, θυμοῦ λέγω καὶ ἐπιθυμίας (ταῦτα γὰρ ὄντα μάλιστα καὶ τυραννοῦντα

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

νοιῶτα ἐν ἡμῖν, ἢ τῷ ἄλλων ὄντα φυσικώτερα) μὴ πολλῆς τῆς αὐθεντίας ἢ ὅσης νομοθέτη πρέπον ἦν, διώρθωσέ τε αὐτά, ἢ μὴ πάσης ἐκόμισε τῆς ἀκριβείας. Οὐδὲ γὰρ εἶπεν, ὅτι ὁ μοιχὸς κολάζεται μόνον, ἀλλ' ὅπερ ἐποίησεν ὅτι τὸ φονεύοντος, τοῦτο ἐνταῦθα ποιεῖ, ἢ τὴν ἀκόλαστον ὄψιν κολάζων, ἵνα μάθῃς ὃ πλέον τῶν γραμματέων ποιεῖ τήρησιν. διόπερ φησίν· ὁ ἐμβλέψας γυναικὶ πρὸς τὸ ἐπιθυμῆσαι, ἤδη ἐμοίχευσεν αὐτὴν ἐν τῇ καρδίᾳ αὐτοῦ· τουτέστιν, ὁ ποιούμενος ἔργον τὸ τὰ λαμπρὰ σώματα πρὸς πορνείαν διαζέειν, ἢ τὰς εὐμόρφους ὄψεις θηρᾶν, ἢ ἑστιᾶν τῇ θέᾳ τὸ ψυχῆς, ἢ πρὸς πλοῦν ἄγειν τὰ ὁμοῖα τοῖς καλοῖς προσώποις. οὐ γὰρ τὸ σῶμα ἦλθεν ἁπαλλάξαι τῶν πονηρῶν πράξεων μόνον, ἀλλὰ ἢ τὴν ψυχὴν πρὸ ἐκείνου. Ἐπεὶ γὰρ ἐν τῇ καρδίᾳ τὰ τοῦ πνεύματος δεξάμενα χάριν, αὐτὴν ἐκκαθαίρει πρώτην. ἢ πῶς δυνατὸν ἐπιθυμίας, φησίν, ἀπηλλάχθαι; μᾶλλον μὴ, εἰ βουληθείημεν, δυνατὸν ἢ αὐτὴν νεκρωθῆναι ἢ ἀνενέργητον μεῖναι· ἄλλως γὰρ ἐνταῦθα οὐχ ἁπλῶς τὴν ἐπιθυμίαν λύομεν, ἀλλὰ τὴν ἐκ τῆς ὄψεως ἐπιγινομένην ἐπιθυμίαν. ὁ γὰρ σπουδάζων ὁρᾶν τὰς εὐμόρφους ὄψεις, αὐτὸς μᾶλλον τὴν κάμινον ἀναπτύσσει τῶν παθῶν, ἢ τὴν ψυχὴν αἰχμάλωτον ποιεῖ, ἢ ταχέως ἐπὶ τὴν πρᾶξιν ἔρχεται. διὰ δὴ τοῦτο οὐκ εἶπεν, ὃς ἐὰν ἐπιθυμήσῃ πρὸς τὸ μοιχεῦσαι· ἀλλ', ὃς ἂν ἴδῃ πρὸς τὸ ἐπιθυμῆσαι. ἢ ἐπὶ μὲν τῆς ὀργῆς διεσμὸν ἵνα τεθῇκεν, ἐπαγαγὼν ἢ εἰπὼν τὸ εἰκῇ· ἐνταῦθα δὲ οὐχ οὕτως, ἀλλὰ καθάπαξ τὴν ἐπιθυμίαν ἀνῄρε. καίτοιγε ἀμφότερα ἔμφυτα, ἢ χρησίμως ἡμῖν ἀμφότερα ἔγκειται, καὶ ὀργὴ ἢ ἐπιθυμία· ἡ μὲν, ἵνα σοῦ πονηρεὺς κολάζωμεν ἢ σοῦ ἀκοσμοῦντας διορθώμεθα· ἡ δὲ, ἵνα παιδοποιώμεθα ἢ τὸ γένος ἡμῖν συγκεκτῆται τῆς τοιαύτης διαδοχῆς. Ἵνος οὖν ἕνεκεν οὐκ ἔθηκε διεσμὸν καὶ ἐνταῦθα; μέγιστον μὲν οὖν, ἐὰν πρόσεχῃς, ὅπερ καὶ ἐνταῦθα διεσμὸν ἐγκείμενον. ὃ γὰρ ἁπλῶς εἶπεν, ὃς ἂν ἐπιθυμήσῃ (ἐπεὶ ἔστι καὶ ἐν ὄρεσι καθήμενον ἐπιθυμῆσαι) ἀλλ' ὃς ἂν ἐμβλέψῃ πρὸς τὸ ἐπιθυμῆσαι· τουτέστιν, ὁ ἑαυτὸν τὴν ἐπιθυμίαν συλλέγων, ὁ μηδενὸς ἀναγκάζοντος τὸ θηρίον ἐπεισάγων ἠρεμοῦντι τῷ λογισμῷ. τοῦτο γὰρ οὐκ ἐπὶ τῆς φύσεως ἦν, ἀλλὰ τῆς σῆς ῥᾳθυμίας. τοῦτο καὶ ἡ παλαιὰ διορθοῦται ἄνωθεν λέγουσα· Μὴ καταμάθῃς καλλος ἀγαθὸν. Σεπ. θ. π. λάτειον. Εἶτα, ἵνα μή τις λέγῃ· Τί οὖν, ἐὰν [καὶ] καταμάθω, ἢ μὴ ἀλῶ; κολάζει τὴν ὄψιν· ἵνα μὴ τῇ ἀδείᾳ ταύτῃ θαρρῶν, καταπέσῃς ποτὲ εἰς τὸ ἁμαρτάνειν. Τί οὖν, ἐὰν ἴδω, φησί, ἢ ἐπιθυμήσω μόνον, μηδὲν ἄλλο πονηρὸν ποιήσω; ἢ ὅτω μὴ τῶν μοιχῶν ἔσῃ. ἀπεφήνατο γὰρ ὁ νομοθέτης, καὶ οὐδὲν ἀφ' ἑαυτοῦ πλέον. ἀπαλλάττει μὲν γὰρ ἢ τοῦ ἴδῃ τοῦ τοῦ ἴδῃ ὅτως ἰδών, ἴσως δυνήσῃ κρατῆσαι· ἀλλ' οὐ συνεχῶς ἔστω ποιῇς ἢ ἀνάπτῃς τὴν κάμινον, ἀλλὰ σῇ πάντως. ὅ γὰρ ἔξω τῆς ἀνθρωπίνης ἔσῃ φύσεως. ὥσπερ ἂν ἡμᾶς, ἐὰν ἴδωμεν παιδίον μάχαιραν κρατοῦν, κἂν μὴ πληγὴν ἴδωμεν, μανθάνομεν ἢ ἀπαγορεύομεν αὐτῷ μηδέποτε αὐτὴν κρατεῖν· ὅτω ἢ ὁ Θεὸς τὴν ἀκόλαστον ὄψιν ἢ πρὸς τῆς πράξεως ἀνῄρηκε, μήποτε ἢ εἰς πρᾶξιν ἐμπέσῃ. ὁ γὰρ τὴν φλόγα ἀνάψας ἁπάντων, ἢ, ἀπούσης τῆς ὀφθείσης γυναικός, πλάττει πῦρ ἑαυτῷ διὰ συνεχοῦς εἰδώλων πρεσβείας, ἢ ἀπ' αὐτῶν πολλάκις ἢ ὅτι ὁ ἔρως ἦν ποιεῖ. διὰ τοῦτο δὲ τὴν διὰ τῆς καρδίας συμπλοκὴν ὁ Χριστὸς ἀνῄρηκεν. Τί τοίνυν εἶπεν ἀν ὁ τὰς ζωοποιούσας ἔχοντες πρὸ θείους; ἀπὸ γὰρ τῆς τοῦ νόμου θέσεως μείζων ἀν εἶεν μοιχείαν ἐνταῦθοι, καθ' ἑκάστην ἡμέραν μὴ ἐπιθυμίας ὁρῶντες αὐτάς. διὰ τοῦτο ἢ ὁ μακάριος Ἰωὴ τοῦτον Ἰωὴ ιγ. α. δὲ ἀρχῆς ἐτίθη νόμον, ἀποτειχίζων ἑαυτὸν πάντοθεν τὴν τοιαύτην θηρείαν. καὶ μείζων ὁ ἀγὼν μὴ τὸ ἰδεῖν, ἢ μὴ ἀπολαῦσαι τῆς ἐρωμένης· ἢ τοσαύτην ἀπὸ τῆς ὄψεως καρπούμεθα τὴν ἡδονὴν, ὅσην ἀπὸ τοῦ τὴν ἐπιθυμίαν ἐκβῆναι ταύτην· ἐκτεμνόμενοι τὴν λύμην, ἰσχυρότεροι τὴν ἀγωνίαν, ἢ πλείονα διδόντες τὴν δύναμιν τῷ διδόντι, ἢ οὐκ ἔτι ἰσχύοντες αὐτὴν ἀποκρούσασθαι, ὅταν εἰς τὰ σύνδεσμα εἰσαγάγωμεν ἢ ἀναπετάσωμεν αὐτῷ τὴν διάνοιαν. διὰ τοῦτό φησι, μὴ μοιχεύσῃς τοῖς ὀφθαλμοῖς, ἢ

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ἢ δ' μοιχεύσεις τῇ διανοίᾳ. ἔστι γὰρ ἢ ἄλλως ἰδεῖν, ὡς ὁ σώφρονες βλέπουσι. διὰ τοῦτο οὐχ ἁπλῶς τὴν ὄψιν ἀνεῖλεν, ἀλλὰ τὴν μετ' ἐπιθυμίας ὄψιν. εἰ γὰρ μὴ τοῦτο ἐβούλετο, εἶπεν ἂν, ὁ βλέπων γυναῖκα ἁπλῶς· νῦν δὲ οὐχ οὕτως εἶπεν, ἀλλ' ὁ βλέπων πρὸς τὸ ἐπιθυμῆσαι, ὁ βλέπων ὥστε τρῶσαι τὴν ὄψιν. καὶ γὰρ εἰς τοῦτό σοι δοὺς ὀφθαλμοὺς ἐποίησεν ὁ Θεὸς, ἵνα διὰ τούτων μοιχείαν εἰσαγάγῃς; ἀλλ' ἵνα αὐτοῖς τὰ κτίσματα βλέπων θαυμάζῃς τὸν δημιουργόν. ὥσπερ οὖν ὅταν εἰκῇ ὀργίζεσθαι, οὐκ ἔστιν εἰκῇ ὁρᾶν, ὅταν πρὸς ἐπιθυμίαν τοῦτο ποιῇς. εἰ γὰρ βούλει ὁρᾶν καὶ τέρπεσθαι, ὅρα τὴν σαυτοῦ γυναῖκα, καὶ ταύτης ἔρα διὰ παντός· οὐδεὶς κωλύει νόμος. εἰ δὲ τὰ ἀλλότρια μέλλεις περιεργάζεσθαι καὶ ἀλλήλων καὶ ἐκείνων ἀδίκως ἀλλοτρίου μετεωρίζων σοὺς ὀφθαλμοὺς καὶ τοῦτον, ἵνα εἴδῃς, ἀκόλουθος αὐτῆς οὐδὲ νόμος. εἰ γὰρ καὶ μὴ ἅψῃ τῇ χειρὶ, ἀλλ' ἐψηλάφησας τοῖς ὀφθαλμοῖς. διὰ τοῦτο καὶ τοῦτο μοιχεία νενόμισται, καὶ περὶ τῆς κλήσεως ἐκείνης κώλυσιν ἡ τοῦ τυχοῦσ ἐπάγει. καὶ γὰρ θορύβου καὶ ταραχῆς πολλὰ τὰ ἔνδον πλεοῦντα, καὶ πολλὴ μὲν ἡ ζάλη, χαλεπωτάτη δὲ ἡ ὀδύνη, καὶ τῶν αἰχμαλώτων καὶ δεδεμένων οὐδὲν ἀμείνων ὁ τοῖς παθοῦσι διακείσεται. καὶ ἡ μὲν τὸ βέλος ἀφεῖσα πολλάκις ἀπέσβη, ἡ δὲ πληγὴ καὶ ἕτερον πόνει· μᾶλλον δὲ οὐδὲ ἐκείνη τὸ βέλος ἀφῆκεν, ἀλλὰ σὺ κατεῖδες ἑαυτῷ τοῦτο πληγὴν ἀκολάστου ἰδών. καὶ ταῦτα λέγω, ἵνα σωφρονοῦσαι ἀπαλλάττωσι τῆς κατηγορίας. ὡς εἴγε τις καλλωπίζοιτο καὶ καλοῖ πρὸς ἑαυτὸν τοὺς ἀπόντων ὀφθαλμοὺς, κἂν μὴ πληξῃ τὸν ἐντυχόντα, δίκην δώσει τοῦ ἐφάπτου. ὁ γὰρ φαρμακεὺς ἐκέρασε, καὶ τὸ κώνειον κατεσκεύασεν, εἰ καὶ μὴ τοῦ κύλικα προσήνεγκε· μᾶλλον δὲ καὶ τοῦ κύλικα προσήνεγκε, εἰ καὶ μηδεὶς ὁ πίνων εὑρέθη. τί οὖν; οὐχὶ καὶ πρὸς αὐτὰς διαλέγεταί, φησιν; ὅτι κοινὸς τοῦ νόμους πάντας τοῦτο τίθησιν, "Εἰ καὶ πρὸς τοὺς ἀνδρας ἀποτείνεσθαι δοκεῖ μόνοις. τῇ γὰρ κεφαλῇ διαλεγόμενος, "κοινῇ δὲ πρὸς τὸ σῶμα ἅπαν πεῖσαι τοῦ προσήκοντος. γυναῖκα γὰρ ἡ ἀνδρα ἐν οἴδε ζῶον, καὶ οὐδαμοῦ διαιρεῖ ὁ νόμος. εἰ δὲ ἡ ἰδίως ἀκοῦσαι βούλει τῆς κατ' αὐτὴν ἐπιπλήξεως, ἄκουσον τοῦ Ησαΐου πολλὰ πρὸς αὐτὰς ἀποτεινομένου, καὶ κωμῳδοῦντος αὐτῶν τὸ σχῆμα, τὸ βλέμμα, τοῦ βάδισμα, τοὺς συρμοὺς χιτῶνας, τοὺς παίζοντας πόδας, τοὺς διακλωμένους τραχήλους· ἄκουσον μετ' ἐκείνου καὶ τοῦ μαθητοῦ Παύλου πολλοὺς αὐτοῖς διδέντος νόμους, καὶ ἐκ μαπίων, καὶ ἐκ χρυσίων, καὶ ἐκ περιττῆς πλοκῆς, καὶ ἐκ σαρκάλης, καὶ ἐκ τῶν ἄλλων τοιούτων σφοδρῶς ἐπιτιμῶντος τῷ γλίσχρῳ πάθει. ὁ δὲ Χριστὸς δὲ διὰ τῶν ἐξῆς αἰνιγματωδῶς αὖθ' τοῦτο ἐνέφηνεν. ὅταν γὰρ λέγῃ, ἔξελε καὶ ἔκκοψον σκανδαλίζοντα, τοῦ πρὸς ἐκείνας ὀργὴν ἐνδεικνύμενος φησι. διὰ τοῦτο καὶ ἐπήγαγε·

29 Ἐὰν ὁ ὀφθαλμός σου ὁ δεξιὸς σκανδαλίζῃ σε, ἔξελε αὐτὸν καὶ βάλε ἀπὸ σοῦ.

Ἵνα γὰρ μὴ λέγῃς· Τί οὖν; ἐὰν συγγενὴς ᾖ; τί οὖν, ἐὰν ἄλλως μοι προσήκῃ; διὰ τοῦτο" ταῦτα προσέταξεν, ὁ περὶ μελῶν διαλεγόμενος, ἅπαντα· ὑδαμοῦ γὰρ τῆς σαρκὸς τὰ ἐγκλήματα εἶναί φησιν, ἀλλὰ πάντα τῆς γνώμης τῆς πονηρᾶς ἡ κατηγορία. ὁ γὰρ ὀφθαλμός ἐστιν ὁ ὁρῶν, ἀλλ' ὁ νοῦς καὶ ὁ λογισμός. πολλάκις γοῦν ἄλλαχοῦ τετραμμένων ἡμῶν ὁ ὀφθαλμὸς τὸν πρόσωπον οὐ βλέπει· ὥστε οὐκ ἔστιν αὐτοῦ τῆς ἐνεργείας ὁ πόνος. εἰ γὰρ περὶ μελῶν ἔλεγε, οὐκ ἂν περὶ ἑνὸς εἶπεν ὀφθαλμοῦ, οὐδ' ἂν τοῦ δεξιοῦ μόνου, ἀλλὰ περὶ ἀμφοτέρων. ὁ γὰρ ἐπὶ τοῦ δεξιοῦ σκανδαλιζόμενος, δῆλον ὅτι καὶ ἐπὶ τοῦ ἀριστεροῦ ὁ αὐτὸ τοῦτο πείσεται. διὰ τοῦτο οὖν ἕνεκεν τοῦ δεξιὸν ὀφθαλμὸν ἔθηκε, καὶ τὴν χεῖρα προσέθηκεν; ἵνα μάθῃς, ὅτι διὰ περὶ μελῶν ὁ λόγος, ἀλλὰ περὶ τῶν οἰκείως πρὸς ἡμᾶς ἐχόντων. διὰ γὰρ τοῦτο ἵνα οὕτω φιλῇς, φησὶν, ὡς ἐν χώρᾳ τιθέναι δεξιοῦ ὀφθαλμοῦ, οὕτω χρήσιμον εἶναι νομίσῃς, ὡς ἐν τάξει ἔχειν χειρός, καὶ βλάπτει σε τοῦ ψυχῆς, καὶ τοῦτον ἀπότεμε. καὶ ὅρα τοῦ ἐμφασιν. οὐ γὰρ εἶπεν, ἀπόσπα· ἀλλὰ τοῦ πολὺ χρεισμὸν ἐμφαίνων, ἔξελε, φησὶ, καὶ βά-

λε

λε ἀπὸ σῦ. Εἶτα, ὅπῳ ἀποτόμως ἐκέλευσε, δείκνυσι καὶ ὁ κέρδος ἑκατέρωθεν, ἀπό τε τῶ ἀγαθῶν, ἀπό τε τῶ κακῶν, ὑπομιμνήσκων τῆ μεταφορᾶ.

Συμφέρῃ γὰρ σοί, φησιν, ἵνα ἀπόληται ἓν τῶ μελῶν σου, ἢ μὴ ὅλον τὸ σῶμά σου βληθῆ εἰς γέενναν. Οταν γὰρ μήτε ἑαυτὸν δύνασῶζῃ, καὶ σὲ ἀναπολλύῃ, πῶς φιλανθρωπίας ἀμφοτέρους καταποντίζεσθαι, ἔχον χωλοὺς ἑστῶτας καὶ ἕνα σωθῆναι; Τί οὖν ὁ Παῦλος ἔλεγε, φησιν, μὴ ἁθροίσματα γίνεσθαι; οὐχ ὡς μηδὲν κερδαίνωμεν, ἀλλ' ὡς ἑτέρους σωθῆναι. ἐν τούτοις ἂν ἀμφοτέρων ἡ βλάβη γίνοιτο. διὸ καὶ οὐκ εἶπεν, ἔξελε μόνον· ἀλλά, καὶ βάλε ἀπὸ σοῦ, ὡς μηκέτι λαμβάνειν, ἐὰν οὕτως μένῃ. οὕτω γὰρ καὶ ἥδιον μείζονος ἀπαλλάξεις ἐγκλήματος, καὶ σαυτὸν ἀπωλείας ἐλευθερώσεις. ἵνα δὲ καὶ σαφέστερον ἴδῃς τὸν νόμον ὃ κέρδος, εἰ δοκεῖ, καὶ ὅτι σώματος καθ' ὑπόθεσιν ἐξεπαισώμην τὸ εἰρημένον. εἰ γὰρ αἵρεσις παρεῖκεν καὶ ἀνάγκη τὸν ὀφθαλμὸν ἔχοντα ἐμβληθῆναι εἰς ὀρυγμα καὶ ἀπολέσθαι, ἢ ἐξελόντα τὸ λοιπὸν σῶσαι σῶμα, ἆρα σὺκ ἂν τὸ δεύτερον ἐδεξώ; πάντι που δῆλόν ἐστιν. οὐ γὰρ μισοῦντος τοῦτο ὀφθαλμόν, ἀλλὰ τὸ λοιπὸν φιλοῦντος σῶμα. τοῦτο δὴ καὶ ἐπ' ἀνδρῶν λογίζου καὶ γυναικῶν. εἰ γὰρ ὁ βλάπτων σε τῆ φιλίᾳ ἀνίατος μέλος, καὶ σὲ λύμης ἀπαλλάξει πάσης ἐκκοπόμενος οὕτω, καὶ αὐτὸς τῶν μειζόνων ἀπαλλαγήσεται ἐγκλημάτων, μηκέτι μὴ τῶν αὐτῶν κακῶν καὶ τῆς σῆς ἀπωλείας ὢν λόγον ἔχων. ἴδε ὅσης ἡμερότητος ὁ νόμος γέμει καὶ κηδεμονίας, καὶ ἡ δοκοῦσα τοῖς πολλοῖς ἀποτομία εἶναι, πόσῃ ἐνδείκνυται φιλανθρωπίᾳ. ἀκουέτωσαν τούτων οἱ τὰς γαμετὰς ἀπολύοντες, καὶ μοιχοὺς ἑαυτοῖς καθ' ἑκάστην ποιοῦντες τὴν ἡμέραν. Εἰ γὰρ ὃν οἰκειωθέντα ὅτι βλάβη σκοπεῖν ὁ νόμος κελεύει, ἵνα μὴ ἔχοιεν ἀπολογίαν, οἱ σὺν οὐδέπω γλυκυθύμους γνωρίμους διὰ τὴν ἐκείνῃ διατριβῆς καθ' ἑκάστην ὑπισχνούμενοι τὴν ἡμέραν, πόσης μυρίας κατασκευάζοντες ἑαυτοῖς ἀπωλείας ἀφορμάς; οὐ γὰρ μόνον ἀκολάστως ἴδῃ ὃ συγχωρῇ λοιπόν· ἀλλ' ἐπειδὴ τὴν ἐκ τοῦ γάμματος ἔδειξε βλάβην, καὶ ὑπιτείνει νόμον γεωϊὸν, σκοπεῖν κελεύων καὶ ἀποτέμνειν τὸ πόῤῥω ποὺ βάλλειν. καὶ ταῦτα ὁ μισεῖος διὰ ἀγάπης κινήσας λόγους νομοθετῇ, ἵνα ἑκατέρωθεν αὐτὸ μάθῃς τὴν γεῶνοιαν, καὶ πῶς πρωταχόθεν τὸ σοὶ συμφέρον ζητῇ.

31 Ἐρρέθη δέ, Ὃς ἂν ἀπολύσῃ τὴν γυναῖκα αὐτοῦ, δότω αὐτῇ βιβλίον ἀποστασίου.

32 Ἐγὼ δὲ λέγω ὑμῖν, ὅτι ὃς ἂν ἀπολύσῃ τὴν γυναῖκα αὐτοῦ παρεκτὸς λόγου πορνείας, ποιεῖ αὐτὴν μοιχευθῆναι· καὶ ὃς ἂν ἀπολελυμένῃ γαμήσῃ, μοιχᾶται.

30 Οὐ γεγένηται ὅτι τὰ ἔμπροσθεν γεγένηται, ἕως τὰ γεγενημένα ἐκκαθάρῃ καλῶς. ἰδοὺ γὰρ καὶ ἕτερον δείκνυσιν ἡμῖν πάλιν μοιχείας εἶδος. τί δέ τοῦτό ἐστι; νόμος ἐστὶν [κείμενος] παλαιὸς, τὸν μισοῦντα τὴν γυναῖκα τὴν ἑαυτοῦ ἐξ οἵας δήποτε αἰτίας, μὴ κωλύεσθαι ἐκβάλλειν, καὶ ἑτέραν αὐτῇ ἐκείνης εἰσάγειν. οὐ μὴν τοῦτο ἁπλῶς ποιεῖν ὁ νόμος ἐκέλευσεν, ἀλλὰ δόντα βιβλίον ἀποστασίου τῇ γυναικί, ὥστε μὴ εὐκόλως πάλιν ἐπ' αὐτὸν ἐπανελθεῖν, ἵνα καὶ ὁ φόβος μένῃ τοῦ γάμου. Εἰ γὰρ μὴ τοῦτο ἐπέταξεν, ἀλλ' ἐξὸν ἐκβάλλειν τε αὐτὴν καὶ ἑτέραν λαμβάνειν, εἶτα πάλιν ἐπανάγειν, πολλὴ ἡ συγχύσις ἔμελλεν εἶναι, συνεχῶς τὰς ἀλλήλων λαμβανόντων ἀπάντων, καὶ μοιχεία τὸ γάμμα λοιπὸν ἦν σαφῶς. διόπερ οὐ μικρὸν ἐπενόησε πρᾶγμα τὸ βιβλίον τοῦ ἀποστασίου. ἐλύετο δὲ ταῦτα μὴ ἑτέραν πολλῷ μείζονα κακίαν. εἰ γὰρ ἠνάγκασε καὶ μισοῦντα κατέχειν ἔνδον, ἔσφαλεν ἂν ὁ μισῶν. Ἰουδαῖον γὰρ τὸν Ἰουδαίων τὸ ἔθνος. οἱ γὰρ παίδων μὴ φειδόμενοι, καὶ γυναικῶν, καὶ ὡς ὕδωρ αἷμα ἐκχέοντες, πολλῷ μᾶλλον γυναικῶν οὐκ ἂν ἐφείσαντο. διὰ τοῦτο τὸ ἔλαττον συνεχώρησε, τὸ μεῖζον κωλύων. ἐπεὶ ὅτι οὐ γεγενημένος ἐστὶν ὁ νόμος ἰδοὺ, ἄκουσον αὐτοῦ λέγοντος· Μωϋσῆς πρὸς τὴν σκληροκαρδίαν ὑμῶν ἔγραψε τὰ ἐγραφεν, ἵνα μὴ ἔνδον σφάττητε, ἀλλ' ἔξω ἐκβάλητε. ὅπῳ δὲ αὐτὸς τὴν ὀργὴν πᾶσαν

Matth. 19. 8.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

σαν ἀφῆλεν, οὐχὶ Ⓦ φόνον μόνον, ἀλλὰ καὶ τὸ ἁπλῶς θυμοδακῆσαι κωλύσας, μετ' εὐκολίας καὶ τοῦτον εἰσάγει Ⓦ νόμον. διὰ τοῦτο καὶ τῶν πρεσβυτέρων ἀεὶ ῥημᾶσι δυσμιμητότερον, ἵνα δείξῃ ὅτι οὐκ ἐναντία ἐκείνοις, ἀλλὰ συμβαίνοντα λέγει, ὑπερτείνων αὐτά, οὐκ ἀνατρέπων· καὶ διορθούμενος, οὐ λύων. ὅρα δὲ αὐτὸν πανταχοῦ τῷ ἀνδρὶ διαλεγόμενον. ὁ γὰρ ἀπολύων, φησί, τὴν γυναῖκα αὐτοῦ; ποιᾷ αὐτὴν μοιχευθῆναι· καὶ ὁ γαμῶν ἀπολελυμένην, μοιχᾶται. ὁ μὲν γὰρ, καὶ ἑτέραν μὴ λάβῃ, τούτῳ αὐτῇ κατέστησεν ἑαυτὸν ἐγκλήματος ἐκτὸς ὑπάρχοντα, μοιχαλίδα ποιήσας ἐκείνην· ὁ δὲ, τῇ τὴν ἀλλοτρίαν λάβῃ, μοιχὸς γέγονε πάλιν. μὴ γάρ μοι τοῦτο εἴπῃς· ὅτι ἐξέβαλεν ἐκείνη. καὶ γὰρ καὶ ἐκβληθεῖσα μένει τοῦ ἐκβάλλοντος οὖσα γυνή. εἶτα, ἵνα μὴ ὅλον ὅτι τὸ ἐκβάλλοντα ῥίψας, αὐθαδέστερον ἐργάσηται τὴν γυναῖκα, καὶ τὰ τοῦ δεχομένου μέρη ταῦτα ἀπέκλεισεν αὐτῇ θύρας, ὡς μοιχὸν εἰπεῖν, ὃς δὴ ἀπολελυμένην γαμήσῃ, μοιχᾶται, τὴν γυναῖκα καὶ ἀκουσῆς σωφρονίζων, καὶ τὸν πρὸς ἕτερον αὖθις πρότερον ἀποτειχίζων εἴσοδον αὐτῇ, καὶ οὐκ ὑπερέπτων ἀφορμὰς πρὸς ἔχθραν μικροψυχίας. ἡ γὰρ μαθοῦσα ὅτι πᾶσα ἀνάγκη ἢ τὸν ἐξ ἀρχῆς κληρωθέντα ἔχειν, ἢ τῆς οἰκίας ἐκπεσοῦσαν ἐκείνης, μηδεμίαν ἑτέραν ἔχειν καταφυγὴν, καὶ ἀκουσα μένοι ἂν τὸν ἔχοντα. εἰ δὲ μηδὲν αὐτῇ πρὸς τοῦτον διαλέγῃ, μὴ θαυμάσῃς. ἀσθενέστερον γὰρ ἡ γυνή. διὰ τοῦτο αὐτὴν ἀφεὶς, ἐπὶ τὴν τῶν ἀνδρῶν ἀπειλὴν τὸν αὐτῆς διορθοῦται ῥᾳθυμίαν. ὥσπερ οὖν εἴ τις παῖδα ἀσωτον ἔχων, ἐκβάλλειν ἀφεὶς, τοῖς ποιοῦσιν αὐτὸν τοιοῦτον ὑπιπλήττοι, καὶ ἐκείνοις ἀπαγορεύοι μὴ συνίεσθαι μηδὲ πλησιάζειν αὐτῷ. εἰ δὲ φορτικὸν τοῦτο, ἀναμνήσθητί μου τῶν ἔμπροσθεν εἰρημένων, ἐφ' οἷς ἐμακάρισεν ὁδυνωμένους, καὶ ὅλως πολὺ δυνατὸν καὶ βάσκολον ὄν. ὁ γὰρ πρᾶος καὶ εἰρηνοποιὸς καὶ πνεύματι καὶ ἐλεήμονι πῶς ἐκβάλῃ τὸν γυναῖκα; [καὶ] ὁ ἑτέρας καταλαβεῖν, πῶς αὐτὸς ἁμαρτάσει πρὸς τὴν ἑαυτοῦ; καὶ ταύτην μόνον, ἀλλὰ καὶ ἑτέρῳ ἔθηκεν κόσμον ἐποίησε Ⓦ νόμον. καὶ γὰρ καὶ τοῦτο καταλιμπάνει ἔξον ἕνα ἀφέσεως, εἰπὼν, πλὴν ἐκτὸς λόγου πορνείας· ἐπεὶ πάλιν εἰς ὃ αὐτὸ περίστατο. εἰ γὰρ ἐκέλευσε καὶ πολλοῖς συγχωρεῖν κατέχειν ἔνδον, πάλιν εἰς μοιχείαν ὃ πρᾶγμα κατέτρεφεν. ὁρᾷς πῶς συμβαίνουσι ταῦτα τοῖς ἔμπροσθεν; ὁ γὰρ μὴ βλέπων ἑτέραν γυναῖκα ἀκολάστοις ὀφθαλμοῖς, οὐ πορνεύσει· μὴ πορνεύων δέ, οὐ πρόξει [τῷ ἀνδρὶ] ἀφορμὴν ἐκβαλεῖν τὴν ἑαυτοῦ γυναῖκα. διὰ δὴ τοῦτο λοιπὸν μετ' ἀδείας ἐπισφίγγει καὶ Ⓦ φόβον ὑπερτείνει, μείζονα ὑπόσειον τῷ ἀνδρὶ Ⓦ κίνδυνον, εἰ ἐκβάλοι. τῆς γὰρ μοιχείας τῆς ἐκείνης ἑαυτὸν ποιεῖ· ἵνα γὰρ μὴ ἀκούσας, ἕξελε Ⓦ ὀφθαλμόν, νομίσῃς δὲ περὶ γυναικὸς ταῦτα λέγεσθαι, εὐκαίρως ἐπήγαγε τὴν διόρθωσιν ταύτην, ἐνὶ ἔξωθεν μόνῳ συγχωρῶν ἐκβάλλειν αὐτὴν, ἑτέρῳ δὲ οὐδενί.

33 Πάλιν ἠκούσατε, ὅτι ἐρρέθη τοῖς ἀρχαίοις, οὐκ ἐπιορκήσεις, ἀποδώσεις δὲ τῷ Κυρίῳ τοὺς ὅρκους σου· 34 Ἐγὼ δὲ λέγω ὑμῖν μὴ ὀμόσαι ὅλως.

Τίνος ἕνεκεν οὐκ εὐθέως ἦλθεν ὅτι τὸ κλοπὴν, ἀλλ' ὅτι τὸ ψευδομαρτυρεῖν, ἁπλῶς; ἐκείνην τὴν ἀπολύειν; ὅτι ὁ μὲν κλέπτων ἔστιν ὅτε δὲ ὀμνύει· ὁ δὲ μήτε ὀμνύων μήτε ψευδόμενος εἰδώς, πολλῷ μᾶλλον οὐχ ἁρπάσεται κλέπτειν· ὥστε διὰ ταύτης καὶ ἐκείνην ἀνέτρεψε τὴν ἁμαρτίαν. ὁ γὰρ ψεύδεσθαι ἀπὸ τοῦ κλέπτειν. Τί δέ ἐστιν, ἀποδώσεις τῷ Κυρίῳ τοὺς ὅρκους σου; τουτέστιν, ἀληθεύσεις ὀμνύς. ἐγὼ δὲ λέγω ὑμῖν μὴ ὀμόσαι ὅλως. Εἶτα περαιτέρω αὐτοῦ ἀπάγων τοῦ κατὰ Θεοῦ ὀμνύναι, φησί·

Μήτε κατὰ τοῦ οὐρανοῦ, ὅτι θρόνος ἐστὶ τοῦ Θεοῦ· 35 μήτε ἐν τῇ γῇ, ὅτι ὑποπόδιόν ἐστι τῶν ποδῶν αὐτοῦ· μήτε κατὰ Ἱερουσαλήμ, ὅτι πόλις ἐστὶ τοῦ μεγάλου βασιλέως. Ἀπὸ τῶν προφητικῶν ἐπὶ φθεγγόμενος, δείκνυσιν ἑαυτὸν οὐκ ἀνατιθέμενον τοῖς παλαιοῖς· οὐ γὰρ ἔξω ἦλθε κατὰ τούτων ὀμνύναι καὶ δείκνυσι πρὸς ὃ τέλει τὸ εὐαγγελίου τοῦτο ὃ ἔθος. σὺ δέ μοι θέα πόθεν ἐπαίρῃ καὶ τοιχεῖα, οὐκ ἀπὸ τῆς οἰκείας φύσεως, ἀλλ'

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ἀλλ' ἀπὸ τῆς τοῦ Θεοῦ πρὸς αὐτὰ σχέσεως τῆς χ̄ς συγκαταβάσεως εἰρημένης. ὅπου γὰρ πολλὴ ἡ τῆς εἰδωλολατρείας τυραννὶς ἦν, ἵνα μὴ δόξῃ τὰ στοιχεῖα δι' ἑαυτὰ εἶναι θεία, ταύτην τέθεικε τὴν αἰτίαν ὧν εἰρήκαμεν," καὶ πάλιν εἰς τὴν τοῦ Θεοῦ δόξαν διέβαινεν. οὐδὲ γὰρ εἶπεν, ὅπου κόσμος καὶ μέγας ὁ ὄφεννός· οὐδέ, ὅπου χρυσὸς καὶ λίθος τίμιος ἡ γῆ· ἀλλ', ὅπου τοῦ Θεοῦ ὁ μῦθός ἐστι θεῖος, ἢ ὃ ἐστοποίησεν, πόνυταχόθεν αὐτὸν ὅτι ✠ διασώζων ζωωθῶν.

36 Μήτε "χ̄ς τὴν κεφαλὴν σῶ, φησιν, ὅτι δύνασαι μίαν τρίχα λευκὴν ποιῆσαι ἢ μέλαιναν. Πάλιν ἐνταῦθα θαυμάζων ✠ δῶ θεσπέσιον, ἐπήγαγε· μηδὲ χ̄ς τῆς κεφαλῆς ὀμνύσαι (καὶ γὰρ αὐτὸς προσεκυνήθη) ἀλλὰ τὴν δόξαν ὅτι ✠ Θεοῦ ἀνάγων, καὶ δείκνυς ὅτι οὐδὲ σαυτὸν ἐξ ἰδίου κύριος· οὕτω οὐδὲ τὴν χ̄ς τῆς κεφαλῆς ὅρκων. εἰ γὰρ ὁ παιδίον οὐκ ἂν τις δοίη ὃ ἑαυτῷ ἑτέρῳ· πολλῷ μᾶλλον ὁ Θεὸς ὃ ἔργῳ ὃ ἑαυτῷ θαυμάσεται σοι. εἰ γὰρ καὶ σὴ ἡ κεφαλή, ἀλλ' ἑτέρα τοῦ κτίσματος εἶ, ὅτι οὐδὲ τὸ πάντων ἔλαττον ἐργάσασθαι ἐν αὐτῇ δυνήσῃ. ὃ γὰρ εἶπεν, ὃ δύνασαι ἐξενεγκεῖν τρίχα· ἀλλ' οὐδὲ ἀλλάξαι αὐτῆς τὴν ποιότητα. τί οὖν, ἂν ἅπαντα τις ὅρκον, φησί, καὶ ἀνάγκην ἐπάγῃ; ὁ τοῦ Θεοῦ φόβος τῆς ἀνάγκης ἐστὶν ἰσχυροτέρας. ἐπεί, εἰ μέλλοις τοιαύτας προβάλλεσθαι προφάσεις, ὃ δεῖν φυλάξεις τῷ ὀμόσαντι. καὶ γὰρ ἂν ὀμόσῃ τὰ γονικὰ ἐρᾷς· τί οὖν; ἐὰν μάχιμος ᾖ καὶ δαιμονήσῃ; καὶ ὅτι τοῦ ὀφθαλμοῦ τοῦ δεξιοῦ· τί οὖν," ἐὰν ἀφέλω αὐτόν, καὶ μαχέσωμαι; καὶ ὅτι τῆς ὄψεως τῆς ἀκριβοῦς· τί οὖν; δύναμαι μὴ ὁρᾶν; καὶ ὅτι τῆς πρὸς τὸν ἀδελφὸν ὀργῆς· τί οὖν, ἐὰν προπετὴς ὦ καὶ μὴ δύνωμαι γλώττης κρατῆσαι; καὶ πάντα ἁπλῶς ὅτω καταπατήσεις τὰ εἰρημένα. κρεῖττον ὅτι τῷ νόμῳ τῷ αὐθεντοῦντι δι' ἁμαρτίαν τοῦτο παθεῖν, οὐδὲ εἰπεῖν, τί οὖν, ἐὰν τὸ τοῦτο; ἀλλὰ καὶ ἑκὼν καὶ ἄκων κατάδηλα τὰ γεγραμμένα· ἄλλως δέ, οὐδὲ δύναται ποτέ. ὁ γὰρ τῷ ἐμπροσθεν μακαρισμῷ ἀκόλουθος, καὶ τοιοῦτον ἑαυτὸν ἐπιδεικνύμενος, ᾧ ἐπέταξεν ὁ Χριστός, οὐδέποτε οὐδενὸς ἐκστήσεται τοιούτου δύναται, ἀδέσμιος ὢν πρὸς πάσι καὶ σεμνός.

37 Ἔστω δὲ ὁ λόγος ὑμῶν [τὸ] ναί, ναί, [καὶ] οὔ, οὔ· τὸ δὲ περισσὸν τούτων ἐκ τοῦ πονηροῦ ἐστι. Τί οὖν ἐστι τὸ περισσὸν τοῦ ναὶ καὶ οὔ; ὁ ὅρκος, ὁ τὸ ἐπιορκεῖν. ἐκφύγοι γὰρ ἂν ὁμολογημένον ἐστί, καὶ οὐδεὶς δεῖται μαθεῖν, ὅτι ἐκ τοῦ πονηροῦ ἐστι, καὶ ὁ διάβολος, ἀλλ' ἐναντίον. τὸ δὲ περισσόν, τὸ πλέον δὲ ἐκ περιουσίας προσκείμενον, ὅπερ ἐστὶν ὁ ὅρκος. τί οὖν, φησιν; ἐκ τοῦ πονηροῦ ἐστι; καὶ εἰ ἐκ τοῦ πονηροῦ ἦν, πῶς νόμος ἦν; τὸ αὐτὸ δὴ τοῦτο καὶ περὶ τῆς γονικῆς ἐρᾶς· πῶς μοιχεία νῦν νενόμισαι τὸ πρότερον ἐπιτετραμμένον; τί οὖν πρὸς ταῦτά ἐστιν εἰπεῖν; ὅτι τῆς ἀθηναίας τὸν δεχόμενον οὐκ νόμιμος ἐστὶν ἀποκτεῖναι τότε. ἐπεὶ καὶ ὁ κριὸς ἦν θεσπιδέσι σφίδρα ἀνάξιον θεοῦ, ὥσπερ καὶ ὁ φελλίζων ἀνάξιον φιλοσόφου. μοιχεία τοίνυν νομίσθη νῦν τὸ τοιοῦτον, ἐκ τοῦ πονηροῦ ὂν ὁμνύναι, ὅτε ἐπέδωκε" τὰ τῆς ἀρετῆς. εἰ δὲ διάβολα ταῦτα ἀπ' ἀρχῆς ἦσαν νόμοι, οὐκ ἂν τοσοῦτον κατώρθωσε. πρὸ γὰρ τοῦ προελθεῖν, οὐκ ἂν ὅπως εὐκόλως ἐδέξατο τὰ νῦν. μὴ τοίνυν αὐτῷ ἀπαίτει τὴν ἀρετήν, ὅτε πρὸς ἦλθεν αὐτῷ ἡ χρεία· ἀλλὰ τότε, ὅτε ὁ καιρὸς αὐτὰ ἐκάλει· μᾶλλον δέ, εἰ βούλει, καὶ νῦν. ὃ γὰρ καὶ νῦν ἡ ἀρετὴ αὐτῷ δείκνυται, καὶ διὰ τοῦτο μάλιστα πρὸς αὐτὸν προβάλλεται. ὃ γὰρ διαστὰν αὐτὰ φαίνεσθαι νῦν, ἐγκώμιον αὐτῶν μέγιστόν ἐστιν. εἰ γὰρ μὴ καλῶς ἡμᾶς ἔθρεψε, καὶ πρὸς τὴν τῶν μειζόνων ἐποδοχὴν ἀπαιδεύτους ἐποίησεν, οὐκ ἂν ἐφθάνομεν τοιαῦτα. ὥσπερ οὖν ὁ μαγειρος, ὅταν ὃ αὐτὸ πληρώσῃ πρῶτον, καὶ πρὸς τὸ τελειότερον τραπέζης ὃ παιδίον προπέμπει, λοιπὸν ἄχρηστος φαίνεται, καὶ ✠ πρότερον ἀναγκαῖον αὐτὸ εἶναι νομίζοντες τῷ παιδίῳ χαίρομεν, μυρίοις αὐτὸν προβάλλοντες σκώμμασι· πολλοὶ γοῦν ῥήμασιν αὐτὸ μόνον προβάλλουσιν, ἀλλὰ καὶ πικροῖς ἐπιχείρουσι φαρμάκοις, ἵν', ὅταν μὴ ἰσχύσῃ τὰ ῥήματα τὸν ἀκμὴν πρὸς αὐτὸν προσθεῖναι δυνηθῇ τὸ παιδίον, τὰ πράγματα σβέσῃ τὸν πόθον· οὕτω καὶ ὁ Χριστὸς ἐκ τοῦ πονηροῦ ἔφησεν αὐτὰ εἶναι, οὐχ ἵνα δείξῃ τοῦ διαβόλου τὸν παλαιὸν ὄντα, ἀλλ'

ἀλλ' ἵνα μετὰ πολλῆς τῆς ὑπερβολῆς ἀπαγάγῃ τῆς παλαιᾶς εὐτελείας. καὶ πρὸς μὲν αὐτοὺς ταῦτα λέγει· ἐπὶ δὲ τῶν ἀναισθήτων Ἰουδαίων καὶ ἐπιμενόντων τοῖς αὐτοῖς, καθάπερ πικρίᾳ τινὶ, τῷ τῆς αἰχμαλωσίας φόβῳ τὴν πόλιν περιχρίσας, ἄβατον ἐποίησεν. ἐπειδὴ γὰρ οὐδὲ τοῦτο ἴσχυσεν αὐτοὺς κατέχειν, ἀλλὰ πάλιν αὐτὴν ἐπεθύμουν ἰδεῖν, ὥσπερ παιδίον ἐπὶ τὴν θηλὴν κατατρέχοντες, τέλεον αὐτὴν ἀπέκρυψε, καθελών τε αὐτὴν καὶ τοὺς πλείονας πόρρω ταύτης ἀπαγαγών· καθάπερ ἐπὶ τῶν βοῶν πολλοὶ τὰς δαμάλεις ἀποκλείοντες, τῷ χρόνῳ πείθουσιν ἀποστῆναι τῆς παλαιᾶς τοῦ γάλακτος συνηθείας. εἰ δὲ τοῦ διαβόλου ἦν ἡ παλαιὰ, οὐκ ἂν τῆς εἰδωλολατρείας ἀπῆγεν· ἀλλὰ τοὐναντίον ἐνῆγεν ἂν εἰς αὐτὴν, καὶ ἐνέβαλε. τοῦτο γὰρ ὁ διάβολος ἤθελε. νῦν δὲ τοὐναντίον ὁρῶμεν ὑπὸ τῆς παλαιᾶς γινόμενον. καὶ αὐτὸ δὲ τοῦτο ὁ ὅρκος τὸ παλαιὸν διὰ τοῦτο ἐνομοθετήθη, ἵνα μὴ κατὰ τῶν εἰδώλων ὀμνύωσιν. Ὀμεῖσθε γὰρ, φησι, τὸν Θεὸν τὸν ἀληθινόν. οὐ τοίνυν μικρὰ κατώρθωσεν ὁ νόμος, ἀλλὰ καὶ σφόδρα μεγάλα. τὸ γὰρ ἐπὶ τὴν στερεὰν αὐτοὺς ἐλθεῖν τροφὴν, τῆς ἐκείνου σπουδῆς γέγονεν ἔργον. τί οὖν; οὐχὶ τοῦ πονηροῦ, φησὶν, ἐστὶ τὸ ὀμνύναι; καὶ σφόδρα μὲν οὖν τοῦ πονηροῦ· ἀλλὰ νῦν μετὰ τὴν τοσαύτην φιλοσοφίαν, τότε δὲ οὔ. καὶ πῶς ἂν τὸ αὐτὸ γένοιτο, φησι, νῦν μὲν καλὸν, νῦν δὲ οὐ καλόν; ἐγὼ δὲ τοὐναντίον λέγω· πῶς δὲ οὐκ ἂν γένοιτο καλὸν καὶ οὐ καλὸν, τῶν πραγμάτων ἁπάντων αὐτὰ βοώντων, τῶν τεχνῶν, τῶν καρπῶν, τῶν ἄλλων ἁπάντων; ὅρα γοῦν ἐπὶ τῆς φύσεως τῆς ἡμετέρας αὐτὸ πρῶτον συμβαῖνον. τὸ γὰρ βαστάζεσθαι ἐν μὲν τῇ πρώτῃ ἡλικίᾳ καλὸν, μετὰ δὲ ταῦτα ὀλέθριον· τὸ μεμασημένην τροφὴν ἐσθίειν, ἐν μὲν προοιμίοις τῆς ζωῆς ἡμῶν καλὸν, μετὰ δὲ ταῦτα βδελυγμίας γέμει· τὸ γάλακτι τρέφεσθαι καὶ πρὸς τὴν θηλὴν φεύγειν, ἐν ἀρχῇ μὲν χρήσιμον καὶ σωτήριον, μετὰ δὲ ταῦτα ὀλέθριον καὶ βλαβερόν. ὁρᾷς πῶς τὰ αὐτὰ πράγματα ὑπὸ τῶν καιρῶν καλὰ, καὶ οὐ τοιαῦτα φαίνεται πάλιν; καὶ γὰρ τὸ ἱμάτιον φορεῖν παιδικὸν, μειρακίῳ μὲν ὄντι καλὸν, ἀνδρὶ δὲ γενομένῳ πάλιν αἰσχρόν. βούλει [δὲ] καὶ ἐκ τῶν ἐναντίων μαθεῖν πῶς τῷ παιδὶ τὰ τοῦ ἀνδρὸς ἀνάρμοστα πάλιν; δὸς τῷ παιδὶ ἱμάτιον ἀνδρικὸν, καὶ πολὺς ἔσται ὁ γέλως, καὶ μείζων ὁ κίνδυνος ἐν τῷ βαδίζειν οὕτω περιτρεπομένου πολλάκις. δὸς αὐτῷ μεταχειρίζειν πράγματα πολιτικὰ, καὶ ἐμπορεύεσθαι καὶ σπείρειν καὶ ἀμᾶσθαι, καὶ πάλιν πολὺς ἔσται ὁ γέλως. καὶ τί λέγω ταῦτα; ὁ γὰρ φόνος ὁ παρὰ πᾶσιν ὡμολογημένος εὕρεμα εἶναι τοῦ πονηροῦ, οὗτος ἐπιλαβόμενος καιροῦ τοῦ προσήκοντος, τὸν ἐργασάμενον αὐτὸν Φινεὲς ἱερωσύνῃ τιμηθῆναι ἐποίησεν. ὅτι γὰρ ὁ φόνος ἔργον ἐκείνου, ἄκουσον τί φησιν· Ὑμεῖς τὰ ἔργα τοῦ πατρὸς ὑμῶν θέλετε ποιεῖν· ἐκεῖνος ἀνθρωποκτόνος ἦν ἀπ' ἀρχῆς. ἀλλ' ἐγένετο ἀνθρωποκτόνος ὁ Φινεὲς, καὶ ἐλογίσθη αὐτῷ εἰς δικαιοσύνην, φησίν. ὁ δὲ Ἀβραὰμ οὐκ ἀνθρωποκτόνος μόνον, ἀλλὰ καὶ παιδοκτόνος (ὃ πολλῷ χεῖρον ἦν) γενόμενος, μειζόνως εὐδοκίμησε πάλιν. καὶ ὁ Πέτρος δὲ διπλοῦν εἰργάσατο φόνον, ἀλλ' ὅμως πνευματικὸν τὸ γενόμενον ἦν.

Ἱερ. δ. β. — Ἀριθ. κε. ια. — Ψαλμ. ρε. λ. — Ἰωαν. μ. μα. μβ. — Γεν. κβ. — Πρ. ε.

ΗΘΙΚΟΝ

Μὴ τοίνυν ἁπλῶς τὰ πράγματα ἐξετάζωμεν· ἀλλὰ καὶ καιρὸν, καὶ αἰτίαν, καὶ γνώμην, καὶ προσώπων διαφορὰν, καὶ ὅσα ἂν αὐτοῖς ἕτερα συμβαίνοι πάντα μετὰ ἀκριβείας ζητῶμεν (οὐδὲ γάρ ἐστιν ἑτέρως ἐφικέσθαι τῆς ἀληθείας) καὶ σπουδάζωμεν, εἰ βουλοίμεθα βασιλείας ἐπιτυχεῖν, πλέον τι τῶν παλαιῶν ἐπιδείξασθαι ἐπιταγμάτων, ὡς οὐκ ἔνι ἄλλως ἐπιλαβέσθαι τῶν οὐρανίων. ἂν γὰρ εἰς τὸ αὐτὸ μέτρον τῶν παλαιῶν φθάσωμεν, ἔξω τῶν προθύρων στησόμεθα τούτων. ἂν γὰρ μὴ περισσεύσῃ ἡ δικαιοσύνη ὑμῶν πλέον τῶν γραμματέων καὶ Φαρισαίων, οὐ μὴ δύνασθε εἰσελθεῖν εἰς τὴν βασιλείαν τῶν οὐρανῶν, φησιν. ἀλλ' ὅμως καὶ τοσαύτης ἀπειλῆς κειμένης, εἰσί τινες, οἳ οὐ μόνον οὐχ ὑπερβαίνουσι τὴν δικαιοσύνην ἐκείνην, ἀλλὰ καὶ ὑστεροῦσιν αὐτῆς. οὐ γὰρ μόνον ὅρκους οὐ φεύγουσιν, ἀλλὰ καὶ ἐπιορκοῦσιν· οὐ μόνον ἀκόλαστον ὄψιν οὐκ ἐκκλίνουσιν, ἀλλὰ καὶ εἰς αὐτὴν τὴν πονηρὰν ἐμπίπτουσι πρᾶξιν, καὶ τὰ ἄλλα πάντα [illegible] τὰ κεκωλυμένα τολμῶσιν, ἓν μόνον ἀναμένοντες, τῆς κολάσεως

τὴν ἡμέραν, καὶ πότε τὴν ἐσχάτην τῶν πεπλημμελημένων δώσουσι δίκην· ὃ τῶν ἐν πονηρίᾳ καταλυσάντων τὸν βίον ἐστὶ μόνον. ἐκείνους γὰρ ἀπογινώσκειν χρὴ, καὶ μηδὲν ἕτερον, ἢ τὴν κόλασιν λοιπὸν ἀναμένειν. οἱ γὰρ ἐν ταύτῃ ὄντες ἔτι, καὶ μαχέσασθαι δυνήσονται, καὶ νικῆσαι καὶ στεφανωθῆναι ῥᾳδίως. μὴ τοίνυν ἀναπέσῃς, ἄνθρωπε, μηδὲ τὴν καλὴν καταλύσῃς προθυμίαν. οὐδὲ γὰρ φορτικὰ τὰ ἐπιταττόμενα. ποῖος πόνος, εἰπέ μοι, ὅρκον φυγεῖν; μὴ γὰρ χρημάτων δαπάνη ἐστί; μὴ γὰρ ἱδρὼς καὶ ταλαιπωρία; ἀρκεῖ θελῆσαι μόνον, καὶ τὸ πᾶν γέγονεν. εἰ δὲ τὴν συνήθειάν μοι προβάλλῃ, δι' αὐτὸ μὲν οὖν τοῦτο μάλιστα εὔκολον εἶναί φημι τὸ κατόρθωμα. ἂν γὰρ εἰς ἑτέραν σαυτὸν καταστήσῃς συνήθειαν, τὸ πᾶν κατώρθωσας. ἐννόησον γοῦν ὅτι παρ' Ἕλλησι πολλοὶ, τῶν μὲν τραυλίζοντες, μελέτῃ πολλῇ χωλεύουσαν αὐτοῖς τὴν γλῶτταν διώρθωσαν· τῶν δὲ τοὺς ὤμους ἀτάκτως ἀναφερομένους καὶ κινουμένους συνεχῶς, ξίφος ἐπιτιθέντες ἀπέστησαν. ἐπειδὴ γὰρ ἀπὸ γραφῶν οὐ πείθεσθε, ἀπὸ τῶν ἔξωθεν ἀναγκάζομαι ἐντρέπειν. τοῦτο καὶ ὁ Θεὸς πρὸς Ἰουδαίους ἐποίει λέγων· Πορεύθητε εἰς νήσους Χεττιείμ, καὶ εἰς Κηδὰρ ἀποστείλατε, καὶ γνῶτε εἰ ἀλλάξονται ἔθνη θεοὺς αὐτῶν· καὶ αὐτοὶ οὐκ εἰσὶ θεοί. καὶ πρὸς τὰ ἄλογα δὲ πέμπει πολλάκις οὕτω λέγων· Ἴθι πρὸς τὸν μύρμηκα, ὦ ὀκνηρὲ, καὶ ζήλωσον τὰς ὁδοὺς αὐτοῦ, καὶ πορεύθητι πρὸς τὴν μέλισσαν. τοῦτο τοίνυν καὶ ἐγὼ νῦν ὑμῖν ἐρῶ· ἐννοήσατε τοὺς Ἑλλήνων φιλοσόφους, καὶ τότε εἴσεσθε πόσης εἰσὶν ἄξιοι κολάσεως οἱ τῶν νόμων τῶν θείων παρακούοντες· ὅταν ἐκεῖνοι μὲν ὑπὲρ εὐσχημοσύνης ἀνθρωπίνης μυρία ὦσι πεπονηκότες, ὑμεῖς δὲ μηδὲ ὑπὲρ τῶν οὐρανίων τὴν αὐτὴν παρέχησθε σπουδήν. εἰ δὲ καὶ μετὰ ταῦτα λέγοις, ὅτι δεινὸν ἡ συνήθεια κλέψαι καὶ τοὺς σφόδρα σπουδάζοντας, ὁμολογῶ μὲν τοῦτο κἀγώ. πλὴν κἀκεῖνο μετὰ τούτου φημὶ, ὅτι ὥσπερ δεινὸν ἀπατῆσαι, οὕτω καὶ εὔκολον διορθωθῆναι. ἂν γὰρ ἐπιστήσῃς ἐπὶ τῆς οἰκίας πολλοὺς σαυτῷ φύλακας, οἷον τὸν οἰκέτην, τὴν γυναῖκα, τὸν φίλον, ῥᾳδίως ὑπὸ πάντων συνωθούμενός τε καὶ συνελαυνόμενος ἀποστήσῃ τῆς πονηρᾶς συνηθείας. κἂν δέκα ἡμέρας μόνον αὐτὸ κατορθώσῃς, οὐκ ἔτι δεήσῃ λοιπὸν ἑτέρου χρόνου, ἀλλὰ κείσεταί σοι μετὰ ἀσφαλείας τὸ πᾶν, τῇ τῆς καλλίστης συνηθείας στερρότητι πάλιν ῥιζωθέν. ὅταν οὖν ἄρξῃ τοῦτο διορθοῦν, κἂν ἅπαξ, κἂν δεύτερον παραβῇς τὸν νόμον, κἂν τρίτον, κἂν εἰκοστὸν, μὴ ἀπογνῷς· ἀλλὰ πάλιν ἀνάστηθι καὶ ἐπιλαβοῦ τῆς αὐτῆς σπουδῆς, καὶ περιέσῃ πάντως. οὐδὲ γὰρ τὸ τυχόν ἐστι κακὸν ἡ ἐπιορκία. εἰ δὲ τὸ ὀμνύναι τοῦ πονηροῦ, τὸ ἐπιορκεῖν πόσην οἴσει τὴν τιμωρίαν; ἐπῃνέσατε τὰ εἰρημένα; ἀλλ' ἐμοὶ κρότων οὐ δεῖ, οὐδὲ θορύβων, οὐδὲ ἤχους· ἓν βούλομαι μόνον, μεθ' ἡσυχίας καὶ ἐπιστήμης ἀκούοντας ποιεῖν τὰ λεγόμενα. τοῦτό μοι κρότος, τοῦτο ἐγκώμιον. ἂν δὲ ἐπαινῇς μὲν τὰ εἰρημένα, μὴ ποιῇς δὲ ἅπερ ἐπαινεῖς, μείζων μὲν ἡ κόλασις, πλείων δὲ ἡ κατηγορία, καὶ ἡμῖν αἰσχύνη καὶ γέλως. οὐδὲ γὰρ θέατρόν ἐστι τὰ παρόντα, οὐ τραγῳδοὺς καθήμεθα θεώμενοι νῦν, ἵνα κροτῆτε μόνον· διδασκαλεῖόν ἐστι τὰ ἐνταῦθα πνευματικόν. διὸ καὶ τὸ σπουδαζόμενόν ἐστιν ἓν, ὥστε κατορθῶσαι τὰ εἰρημένα, καὶ διὰ τῶν ἔργων ἐπιδεῖξαι τὴν ὑπακοήν. τότε γὰρ τὸ πᾶν ἐσόμεθα ἀπειληφότες· ὡς νῦν γε καὶ ἀπηγορεύσαμεν λοιπόν. καὶ γὰρ [καὶ] τοῖς ἰδίᾳ συντυγχάνουσιν οὐ διέλιπον ταῦτα παραινῶν, καὶ ὑμῖν κοινῇ διαλεγόμενος, καὶ οὐδὲν ὅμως ὁρῶ γεγενημένον πλέον, ἀλλ' ἔτι τῶν προτέρων ὑμᾶς ἐχομένους στοιχείων· ὅπερ ἱκανὸν τῷ διδάσκοντι πολὺν ἐνθεῖναι τὸν ὄκνον. ὅρα γοῦν καὶ Παῦλον διὰ τοῦτο δυσανασχετοῦντα, ὅτι πολὺν χρόνον τοῖς προτέροις ἐνδιέτριβον μαθήμασιν οἱ ἀκροαταί. Καὶ γὰρ ὀφείλοντες εἶναι, φησι, διδάσκαλοι διὰ τὸν χρόνον, πάλιν χρείαν ἔχετε τοῦ διδάσκεσθαι ὑμᾶς τίνα τὰ στοιχεῖα τῆς ἀρχῆς τῶν λογίων τοῦ Θεοῦ. διὸ καὶ ἡμεῖς θρηνοῦμεν καὶ ὀδυρόμεθα. κἂν ἐπιμένοντας ἴδω, ἀπαγορεύσω λοιπὸν ὑμῖν τῶν ἱερῶν τούτων ἐπιβῆναι προθύρων, καὶ τῶν ἀθανάτων μεταλαβεῖν μυστηρίων, ὥσπερ τοῖς πορνεύουσι καὶ μοιχεύουσι καὶ ἐπὶ φόνοις ἐγκαλουμένοις. καὶ γὰρ βέλτιον μετὰ δύο καὶ τριῶν τοὺς τοῦ Θεοῦ φυλαττόντων νόμους τὰς συνήθεις

γρ. φερομένους — Ἱερ. β. ι. — Παρ. ς. ς. — καὶ λ. κβ. — Ἑβ. ε. ιβ.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ἡδὺς διαφέρειν δοκεῖ, ἢ πλῆθος ὑπισχνεῖσθαι τοὺς νομοθετοῦντας καὶ τοῖς ἄλλοις διαφέρειν. μὴ μοί τις πλούσιος, μὴ μοί τις δυνάστης ἐνταῦθα φυσάτω καὶ ταῦτα ὀφρὺς διατεινάτω· πάντα μοι ταῦτα μῦθος καὶ σκιὰ καὶ ὄναρ. οὐδὲν γὰρ τῶν νῦν πλουτούντων ὄφελος ἔσται, ὅταν ἐγκαλῶμαι καὶ κατηγορῶμαι, ὡς μὴ μετὰ τῆς προσηκούσης σφοδρότητος τοῦ τοῦ Θεοῦ διεκδικήσασι νόμους. τοῦτο γὰρ, τοῦτο καὶ τὸν θαυμαστὸν ὄφιν προσεύξομαι, ὄφιν τὸν Ἡλὶ λέγω, ἀπώλεσε, καὶ τοι βίον πολυχρόνιον ἀληπτον· ἀλλ' ὅμως ὅπως τοῦ τοῦ Θεοῦ νόμοις πατουμένοις ὑπῆρξεν, ἐκολάζετο μετὰ τῶν παίδων, καὶ τῷ χαλεπῷ ἐδίδου λιμοείδει. εἰ δὲ ἐνθα τοσαύτη τῆς φύσεως ἰσχὺς καὶ τυραννὶς, ὁ μὴ μετὰ τῆς προσηκούσης ἀνδρείας τοῖς ἑαυτοῦ παισὶ χρησάμενος, οὕτω χαλεπῶς ἔδωκε δίκας· ἵνα ἔξομεν συγγνώμας ἡμεῖς, καὶ τῆς τυραννίδος ἐκείνης ἀπηλλαγμένοι, καὶ χαλεπείας τὸ πρῶτον διαφθείροντες; ἵν' οὖν μὴ καὶ ἡμᾶς καὶ ὑμᾶς αὐτοὺς προσαπολέσητε, πείθητε, παρακαλῶ, καὶ μυρίους ὀξέτερας καὶ λογισάς ἑαυτοῖς καταστήσαντες, ἀπαλλάγητε τῆς πρὸς ὀργὰς ζημιώσεως· ἵνα ὁδῷ προσβαίνοντες, ἐντεῦθεν καὶ τῷ ἄλλῳ ἀρετῷ μετ' εὐκολίας κατορθώσητε πάσης, καὶ τῶν μελλόντων ἀπολαύσητε ἀγαθῶν· ὧν γένοιτο πάντας ἡμᾶς ὑπερτυχεῖν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ᾧ ἡ δόξα καὶ τὸ κράτος, νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Ομιλ. ιη. 38 ΗΚΟΥΣΑΤΕ ΟΤΙ ΕΡΡΕΘΗ, ΟΦΘΑΛΜΟΝ ἀντὶ ὀφθαλμοῦ, καὶ ὀδόντα ἀντὶ ὀδόντος. 39 Ἐγὼ δὲ λέγω ὑμῖν μὴ ἀντιστῆναι τῷ πονηρῷ· ἀλλ' ὅστις σε ῥαπίσει εἰς τὴν δεξιὰν σιαγόνα, στρέψον αὐτῷ καὶ τὴν ἄλλην· 40 καὶ τῷ θέλοντί σοι κριθῆναι καὶ τὸν χιτῶνά σου λαβεῖν, ἄφες αὐτῷ καὶ τὸ ἱμάτιον.

ΟΡᾷς ὅτι οὐ περὶ ὀφθαλμοῦ τὰ παρόντα ἔλεγεν, ἵνα οὐ νομοθετῇ τὸν ὀφθαλμὸν ἐκκόπτειν τὸν σκανδαλίζοντα· ἀλλὰ περὶ τοῦ τῆς φιλίας βλάπτοντος ἡμᾶς, καὶ εἰς τὸ τῆς ἀπωλείας ἐμβάλλοντος βάραθρον; ὁ γὰρ τοσαύτην ἐνταῦθα ποιούμενος τὴν ὑπερβολὴν, καὶ μηδὲ ἑτέρου δεξιοῦ ὄντος τὸν ὀφθαλμὸν ὑπισχνούμενος ἐκκόψαι τὸν ἐκείνου, πῶς ἂν τὸν ἑαυτοῦ ἐκκόπτειν συνεβούλευσεν; εἰ δέ τις τοῦ παλαιοῦ κατηγορῇ νόμου, ὡς τὸ κελεύειν ὕστερον ἀμυνεσθαι, σφόδρα μοι δοκεῖ σοφίας νομοθέτην παρεπούσης ἀπείρως εἶναι, καὶ χαίρων δυνάμην ἀγνοεῖν καὶ συγκαταβάσεως κέρδος. ἂν γὰρ ἐννοήσῃς, οἵνες ἦσαν οἱ ταῦτα ἀκούοντες, καὶ πῶς διακείμενοι, καὶ πότε τὴν νομοθεσίαν ἐδέξαντο ταύτην, σφόδρα ἀποδέξῃ τοῦ νομοθέτου τὴν σοφίαν, καὶ εὑρήσεις ὅτι εἰς καὶ ὁ αὐτὸς ὁ ἐκεῖνα καὶ ταῦτα νομοθετήσας ἐστὶ, καὶ σφόδρα χρησίμως ἑκάτερα καὶ μετὰ τοῦ προσήκοντος χαλάσας καιροῦ. καὶ γὰρ, εἰ μὲν ἀπὸ τὴν ἀρχὴν τὰ ὑψηλὰ ταῦτα καὶ ὑπερβολικὰ εἰσήγαγε διδασκάλματα, ὅτε δὲ ταῦτα ἐδέξαντο, ὅτε ἐκεῖνα· νυνὶ δὲ ἐν καιρῷ τοῦ προσήκοντος ἑκάτερα δέδωκεν, τὴν οἰκουμένην δι' ἀμφοτέρων κατάρθωσεν ἅπασαν. ἄλλως δὲ καὶ τοῦτο ἐκέλευσεν, οὐχ ἵνα τοὺς ἀλλήλων ἐκκόπωμεν ὀφθαλμοὺς, ἀλλ' ἵνα πρὸς ἑαυτοὺς τὰς χεῖρας κατέχωμεν. ἡ γὰρ ἀπειλὴ τοῦ παθεῖν, τὴν ὁρμὴν τοῦ δρᾶσαι διεκώλυε· καὶ οὕτω δὴ πολλαχοῦ ἡρέμα καὶ κατὰ σπείρει τὴν φιλοσοφίαν, ὅπουγε παθόντα τοῖς ἴσοις ἀμυνεσθαι κελεύει καὶ τοιγε μείζονος κολάσεως ἄξιος ἐστὶν ὁ τῆς πραγματείας ταύτης κατάρξας, καὶ τοῦτο ὁ τοῦ διηνεκοῦς λόγους ἅπαντος. ἀλλ' ὅπως ἡ φιλανθρωπίαν ἐβούλετο κερδῆσαι τοῦ διηκόου, μείζονα πλημμελήσαντα ἐκτίσαι τῆς ἀξίας καταδικάζει χιλιοετία, παιδεύων καὶ ἐν τοῦ πάσχειν πολλοῦ ὑπιδεικνυσθαι τὴν ὑπεῖκειαν. Εἰπὲ τοίνυν μοι παλαιὸν νόμον, καὶ ἀναγκοῖς αὐτὸν ἀ-

πάντα,

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

πθμτα, δείκνυσι πάλιν ὁ Ⓦ ἀδελφὸν ὄντα τ̃ ζῶντα ἐργαστάμθνον, ἀλλὰ τ̃ πονηρόν. Δι᾽ ὅτο καὶ ἐπήγαγε· ἐγὼ δ̃ λέγω ὑμῖν μὴ ἀντιστῆναι τ῾ῷ πονηρῷ. ὅσι εἶπε μὴ ἀντιστῆναι τῷ ἀδελφῷ, ἀλλὰ τῷ πονηρῷ, δείκνυσι ὅτι ἐκείνου κινοῦντος ζῶντα πολεμᾶται, καὶ ζώντι ὃ πολὺ τ̃ς ὀργ̃ς τ̃ς πρὸς τ̃ πεποιηκότα χαλᾶν καὶ ὑπερτεμνόμθνος τῷ τὸν αὐτὸν ἐφ᾽ ἑ-
5 τέρων μεταθεῖναι. τί οὖν; ἀνέχῃ ἡμᾶς λυθῆναι τῷ πονηρῷ, φησι; δῆλον, οὐ τούτῳ δ̃ ὃ ἔφην· ἀλλ᾽ ὡς αὐτὸς ἐπέταξε, τῷ πρέχειν ἑαυτὸν παθεῖν κακῶς· οὕτω γὰρ αὐτὸ πρεπέστερον. ὅσπερ γὰρ πυρὶ σβέννυται πῦρ, ἀλλ᾽ ὕδατι πῦρ. ἵνα δ̃ μάθῃς ὅτι καὶ ὃν τῷ παλαιῷ νόμῳ ὁ παθὼν κρατ῾ῆσ μᾶλλον, καὶ οὗτός ἐστιν ὁ σεφανούμθνος, ἀξέπασον αὐτὸ τὸ γινόμθνον, καὶ ὅλη πολλῷ αὐτ῾ῆ τῷ προθεσμίᾳ ὕσαν. ὁ μὲν γὰρ ἄρξας χειρῶν ἀδίκων, ἀμφοτέρους αὐ-
10 τοὺς ἔσαι δυνηπκὼς τοὺς ὀφθαλμούς, καὶ τ̃ τὸν πλησίον, καὶ τ̃ αὐτόν. διὸ καὶ μισεῖται πρὸ πάν- κ. μυειάκις
των δικαίως, καὶ μυειάκις βάλλε῾ι κατηγορίας· ὁ δ̃ ἠδικημθνος, καὶ μὴ τὸ τοῖς ἴσοις ἀμύνεσθαι ὀλίγον ἔσαι δεινὸν πεποιηκώς. διὸ δὲ πολλοὺς ἔχει τοὺς συναγωνιζομένους, ἅτε καθαρὸς ὢν καὶ μὴ τὸ ποιῆσαι ζημίας τῆς πλημμελείας. καὶ ζημίᾳ τ̃ς συμφορ̃ς ἴσα ἀμφοτέρωις· ζημίᾳ δ̃ τ̃ς δόξης οὐκ ἴσα, οὐδὲ πρὸς Θεῷ, οὐδὲ πρὸς ἀνθρώποις· διόπερ λοιπὸν ὅτε τὰ τ̃ συμ-
15 φορ̃ς ἴσα. ὀργιζόμθνος μὲν οὖν ἔλεγεν· ὁ ὀργιζόμθνος τῷ ἀδελφῷ αὐτ῾ῆ ἔνοχος ἔσαι τ῾ῇ γεέννῃ τ̃ πυρός· ἐνταῦθα δ̃ καὶ πλείονα ἀπαιτεῖ φιλοσοφίαν, οὐ μόνον κελεύων κρατεῖν τ῾ῶν πάθοντα κακῶς, ἀλλὰ δὲ ἀντιφιλοτιμεῖσθαι μειζόνως τῷ ἑτέρων προέχοντα σιωπᾶν. ὅτο δ̃ λέγω, οὐ πρὸς τ̃ς τοιαύτης πληγ̃ς νομοθετῶν μόνον, ἀλλὰ δὲ τῷ ἐν ἅπασι τοῖς ἄλλοις ἀνεξικακίᾳ παιδεύων ἡμᾶς. ὥσπερ γὰρ ὅταν λέγῃ, ὅτι ὁ κα-
20 λῶν τ῾ὸν ἀδελφὸν αὐτ῾ῆ μωρὸν, ἔνοχος ἔσαι τ῾ῇ γεέννῃ τ̃ πυρός, οὐ πρὸς τ῾ῦ ῥήματος τούτου λέγει μόνον, ἀλλὰ καὶ πρὸς λοιδορίας ἁπάσης· οὕτω δὴ καὶ ἐνταῦθα, οὐχ ἵνα ῥαπιζόμθνοι μόνον φέρωμθν γναίως νομοθετ῾ῆ, ἀλλ᾽ ἵνα καὶ πᾶν ὁτιοῦν πάσχοντες μὴ θορυβώμθα. διὸ τοῦτο καὶ κ῾ῆρ τ῾ὸν ἐράπτιν ὕβριν ἐπελέξατο, καὶ ἐνταῦθα τῷ μάλιστα δοκοῦσαν ἐν πληγῇ ἐπονείδι-
25 στον, τ῾ὸ ὅτι σιαγόνος, καὶ πολλῷ ἔχουσαν τῷ ὕβριν τέθηκε. κελεύει δ̃ τοῦτο, ὥσπερ τε τ῾ῦ πλήθοντος, ὥσπερ τε τ῾ῦ πλησιομθνου Ⓦ λόγου ποιούμθνος. ὁ τε γὰρ ὑβρισμένος, οὐδὲν ἡγήσε῾ται πάσχειν δεινὸν οὕτω προεσκυασμένος φιλοσοφ῾ῆν (οὐδὲ γὰρ τ̃ς ὕβρεως αἰσθήσιν λήψεται, ἅτε ἀγωνιζόμθνος μᾶλλον ἢ τυπτόμθνος) ὅτε ἐπηρεάζων καταισχυνθεὶς οὐκ ἔτι δυ-
30 τέρων ἐπάξει πληγ῾ήν, κἂν θηρίου πάντος χαλεπώτερος ἦ, ἀλλὰ καὶ ὅτι τ῾ῇ προτέρᾳ σφόδρα ἑαυτ῾ὸν καταγνώσεται. οὐδὲν γὰρ οὕτω κατέχει σὺν ἀδικουμένῳ, ὡς τὸ φέρειν τοὺς ἀ- κ. πορρωτέρω
δικοῦντας ὑπεικῶς καὶ μνόμθνα. ὃ κατέχει δ̃ μόνον τ̃ς πορρωτέρω μίμνης, ἀλλὰ δὲ ὅτι τοῖς φθάσασι μετανοῆσαι προσκυάζει, καὶ θαυμάζοντας τῷ ὑπεικείᾳ δυσχωρ῾ῆν, καὶ οἰκειοτέρους καθίστησι, καὶ δούλοις, οὐχὶ φίλοις μόνον, ἀντὶ ἐχθρῶν καὶ πολεμίων πείθ᾽ ὥσπερ οὖν τὸ ἀμύνεσθαι, καὶ ἀνομία ἄπονται. ἀμφοτέρους τε [γὰρ] καταισχύνει, καὶ χείρους κατασκυάζει, καὶ τῷ ὀργῷ εἰς μείζονα δυάδ᾽ ἄφλεγα, καὶ πολλάκις δ̃ καὶ εἰς θάνατον καταφέρει
35 πρανεστέρω δ̃ δεινὸν προβαῖνον. διὸ τοῦτο οὐ μόνον ῥαπιζόμθνον ἐκέλευσε μὴ ὀργίζεσθαι, ἀλλὰ καὶ ἐμπιπλᾶν αὐτ῾ὸν τ῾ὸν ὑπερθυμίαν ἐπέταξεν, ἵνα μηδὲν δ̃ προτερον δόξῃς ἄκων ὑπομεμενθυμηκέναι. οὕτω γὰρ δὲ ἀναίσχυντον ὄντα" κακεῖα δυνήσῃ πλῆξαι" πληγ῾ῇ μᾶλλον, ἢ κ. -εῖαν
εἰ τ῾ῇ χειρὶ ἔπληξας, καὶ δυσχυντότερον ὄντα ὑπεικέστερον ποιήσεις. ᾧ θέλοντί σοι κριθῆ- κ. -χῶ
ναι καὶ Ⓦ χιτῶνά σου λαβεῖν, ἄφες αὐτ῾ῷ καὶ δ̃ ἱμάτιον. οὐδὲ γὰρ ὅτι" πληγῶν μόνον, ἀλλὰ καὶ κ. -γῆς
ὅτι χρημ῾ά̃ζημίας βούλεται τῷ τοιούτῳ δυνέξικακίᾳ προέχεσθαι. διὸ πάλιν τ῾ὸ αὐ-
τῷ τί θησιν ὑπερβολήν. ὥσπερ γὰρ ἐκ῾ῆ κελεύει νικᾶν ἐν τ῾ῷ πάσχειν, οὕτω καὶ ἐνταῦθα ἐξ᾽ ἀφαιρεῖσθαι πλείονα, ὧν ὁ" πλεονεκτ῾ῆσ θέλων προσεδόκησε. πλὴν οὐχ οὕτως ἁπλῶς αὐ- κ. πλεονεκτ῾ῆ
τὸ τέθεικεν, ἀλλὰ μ῾ῆ προσθήκης. καὶ γὰρ εἴπε, δὸς τῷ αἰτοῦντί σε ἱμάτιον, ἀλλὰ τ῾ῷ θέλοντί σοι κριθῆναι· τουτέστιν, ἐὰν εἰς δικαστήριον ἔλκῃ καὶ τὰ σὰ ἁρπάσαι προσέχῃ. καὶ

ὥσπερ

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ὥσπερ εἰ πὼν μὴ κελεῦν μοφθὸν μηδὲ ὀργίζεσθαι εἰκῇ, πεσιὼν πλέον ἀπήτησεν, ἰωΐκα ἐ-
κέλθυσε ⸌ τὴν δξιὰν σιαγόνα πῖ ἔχειν ὕτω ϗ σὺ ταῦθα, εἰ πὼν βύνοξν τῷ ἀντιδίκῳ, πάλιν
ὑπατείνει ὁ ὑπίταγμα. οὐ γὰ δὴ μόνον ἀ βούλε᷈) λαβξν, κελθύει δοιῶναι, ἀλλὰ ⸌ πλείονα
ὑπιδείξασθαι φιλοτιμίαν. Τί οὖν; γυμνὸς μέλλω πεδιέναι, φησίν; σὺ μὰ ἦμθν γυμνοὶ, εἰ
τύτοις ἐπειθόμθα μῖ ἀκριβείας· ἀλλὰ ϗ πολλῷ πλείονα" ἀπαιτύντων μὰ ἦμθν πεδιεβελη- 5 πε. ἀπαιτ
μθνοι. πεῶτον μὶ γὰ σὲ δὲις αὖ ὕτω ϗμακειμθνοις ἐπέτειν· δύτερον ᾖ, εἰ ⸌ ἐτυχέ τις πε. δύτερ
ὕτως ἄγριος ὢν ⸌ αὐημερος, ὡς ϗ μέχρι τοσύτυ πεοφελθξν· ἀλλὰ πολλῷ πλείύς αὖ ἐ-
φάνησαν ⸌ ⸎ ὕτω φιλοσοφοῦντα ὐχ ἱματίοις μόνον, ἀλλὰ ϗ τῇ σαρκὶ τῇ ἑαυτῶν, εἴγε
οἵόντε ἰῶ, πεδιάλλοντες. Εἰ ᾖ ⸌ ἐχρῆν γυμνὸν πεδιέναι ϗμὶ τοιαύτυ φιλοσοφίαν, ὅ-
Γεν. β. δὲ ὕτως αἰχρὸν ἰῶ· ἐπεὶ ⸌ ὁ Ἀδὰμ γυμνὸς ἰῶ ἐν τῷ πᾶ δδείσῳ, ϗ σὺκ ἠμύετο· καὶ ὁ 10
Ησ. κ. γ. Ησαΐας γυμνὸς ϗ ἀνυπόδητος, ⸌ πὼν Ιουδαίων λαμπεότερος ἰῶ· ϗ ὁ Ιωσὴφ ᾖ, ὅτε
Γεν. λθ. ἀπεδύσατο, τότε μάλιςα ἐλαμπεν. οὐ γὰ ὅ ὕτω γυμνοδαθαι κακὸν, ἀλλὰ ὅ ὕτως ἐν-
δυεῶ, καθάπεο νεῶ ἡμᾶς, ἱματίοις πολυτελέσι, τῦτο ϗ αἰχρὸν ⸌ καταγέλασον. ϗμὶ τοι
ὕτο ἐκείνους μὶ ὁ Θεὸς ἐπῄνεσε, τύτοις ᾖ ἐγκαλᾶ, ϗ ϗμὶ πεοφητῶν ϗ δι' ἐπιςόλων. μὴ
τοίνυν αἰδιάφοα ταῦ᾽᾽) νομίζωμθν τὰ ὑπιτάγματα. ϗ γὰ μῖ τ̄ συμφέοντος σφόδα ἐςὶν 15
δύκολα, ἐὰν νήφωμθν· ϗ ζοῦτον ἔχει ὁ κέὰδος, ὡς μὴ μόνον ἡμᾶς, ἀλλὰ ϗ ἐκείνους ζοὺ ἐ-
πηεάζοντας τὰ μέγιςα ὠφελᾶν. ϗ τ̄το μάλιςα αὐτῶ" ὅςι ὁ ἐξαίεετον, ὅτι πείθοντες ἡμᾶς
παφεῖν κακῶς, ϗμὶ τῶν αὐτῶν ϗ ζοὺ ποιοῦντας διδάσκθσι φιλοσοφᾶν. ὅτθμ γὰ ἐκεῖνος
μὶ ἡγῆται μέγα τὸ τὰ ἑτέεων λαμβάνειν, σὺ ᾖ αὐτᾷ δείξῃς, ὅτι σοι κοῖφον ϗ ἀμὴ αὐτᾷ δοῦ- 20
ναι, ϗ ἀντιῤῥοπον φιλοτιμίᾳ εἰσαγάγῃς τῆς ἐκείνυ τὼφελείας, ϗ φιλοσοφίᾳ τῆς ἐκεί-
νου πλεονεξίας, ἐνόησον ὅσης ἀπολαύσε᷈) διδασκαλίας, οὐ δι' ῥημᾶ, ἀλλὰ δι' τῶν ἔο-
γων αὐτῶν παιδθύμθνος καταφεῦξν μὶ κακίας, ἐφίεσθαι ᾖ ἀεετῆς. ζοῖς γὰ ἑαυτοῖς
ζεησὶμους ἡμᾶς εἶ᾽᾽) μόνον βούλε᷈) ὁ Θεὸς, ἀλλ᾽ ⸌ τοῖς πλησίον ἅπασιν. ἀὺ μὶ οὖν ὅλως ⸌
μὴ δικαίῃ, τὸ σαύτᾶ συμφέον ἐζήτησας μόνον· ἂν ᾖ πεοσόλως καὶ ἕτεεον, κἀκεῖνον βᾴ-
τίω ποιήσας δεξέπεμψας. τοιοῦτόν ὅςι τὸ ἄλυς, ὅπεο αὐλοὺς ἔ᾽᾽) βούλεται. καὶ γὰ ἑαυτὸ 25
" συγκοτᾷ, καὶ τὰ ἄλλα ϗμαεματᾷ σώματα οἷς ἂν ὁμιλήσῃ." τοιοῦτός ἐςιν ὁ ὀφθαλμός· ϗ πε. συγκοτ
γὰ ἑαυτῷ καὶ τοῖς ἄλλοις φαίνει. ἐπεὶ οὖν σὺ ταῦτα κατέγνως, ὠφέλησον καὶ πε. τοῦτον
τὸν σὺ" σκήπτῳ κα. θήμθνον, καὶ δίδαξον αὐτ" ὅτι ζοῦτό τὸ " πεοθτεεον βίᾳ ἔλαβε· πεῖσον ὅτι τὸ φῶς·
σὺκ ἐπηεάσεν. ὅτω γὰ ϗ αὐτὸς αἰδεσιμώτεεος ἔσῃ καὶ σεμνότεεος, ἐὰν" δείξῃς ὅτι ἐ- πε. -τερ
ζημείωσο, καὶ οὐχ ἁπάγῃς. πείσον τοίνυν αὐτ᾽ τ̄ ἁμάετίαν ϗμὶ τῆς σῆς ὑπειεικείας φιλο- πε. πεοσῶν
τιμίᾳ σῶ. Εἰ ᾖ μέγα τῦτο εἶ᾽᾽) νομίζεις, ἀνάμενοι, καὶ ὀλίγα σαφῶς, ὅτι ζοῦδέ πω πεὸς ζὸ πε. δόξῃς
τέλφον ἀπιώτηκας. ζοῦδὲ γὰ ἀνταῦθα ἴσαται σοι ὁ ζοὺ πεῖ ἀνεξικακίας ἡμῖς νόμυς, ἀμ-
λὰ καὶ πεαγτέεω πεοθησιν, ὕτω λέγων·

41 Εἰ ἀν τίς σε ἀγγαρεύσῃ μίλιον ἕν, ὕπαγε μετ' αὐτ᾽ δύο.

Εἶδες ὑ᾽ῥολιῶ φιλοσοφίας; μῖ γεωῦ ὁ δοιῶναι ⸎ χιτῶνα ϗ ⸌ ἱμάτιον, ζοῦδὲ εἰ 35 πε. πιμελεί
γυμνῷ ⸌ σώματι ᾖῆθαι βούλοιτο ὁ ἐνθεὸς πεὸς" ζαλαιπωείας ϗ πόνυς, ζοῦδὲ ὕτως αὐ-
τὸν δεῖ κωλύειν, φησί. πάντα γὰ βούλε᷈) κεκλῆθαι ἡμᾶς κοινὰ, ⸌ τὰ σώματα ϗ τὰ ᾖήμα-
τα, ϗ τοῖς δεομθνοις πῖ ἔχειν ϗ τοῖς ὑβειζυσι. ⸌ μὶ γὰ ἀνδρείας, ⸌ ᾖ φιλανθεωπίας
ὅςι. ϗμὶ τῦτο ἔλεγθ· ἐὰν τίς σε ἀγγαρεύσῃ μίλιον ἕν, ὕπαγε μετ' αὐτ᾽ δύο, ἀνωτέρω σε
ἀνάγων πάλιν, ϗ τὴν αὐτὴν φιλοτιμίαν ὑπιδείκνυθαι κελεύων. Εἰ γὰ, ἅπεο ἐγὼ 40
μθνος ἔλεγθ ἐλάττονα ὄντα τύτων πολλῷ, τοσύτυς ἔχῃ μακαεισμοὺς, ἐνόησον οἵα λῆξις ζοὺ
ζαῦτα κατοεθωῦντας ἀναβαίνει, ⸌ τίνες πεὸ τῶν ἐπαίθλων γίνονται, ὅν ἀνθεώπῳ σώματι
ϗ παθητῷ ἀπάθθαν ἅπασαν κατοεθοῦντες. ὅτθμ γὰ μηδὲ ὕβρεσι ϗ πληγαῖς, μήτε ᾖημί-
μῖ ἀφαιρέσει δάκνων᾽᾽), μήτε ἄλλῳ μηδενὶ εἴκωσι τοιύτῳ, ἀλλὰ ϗ ὑπιδαφιλεύων᾽᾽)

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ὦ πάτερ μᾶλλον, σκόπησον οἷα αὐτοῖς κατασκευάζεις ἢ ψυχή. ἀλλὰ δὴ τοῦτο ὑπὲρ ὅτι τῶν πλησίον, ὑπὲρ ὅτι τῶν χρημάτων, τοῦτο καὶ ἐνταῦθα ἐκέλευσε ποιεῖν. Εἰ γὰρ λέγω, φησίν, ὑμῖν τὰ χρήματα; καὶ αὐτῷ ὦ σώματι σου βούλη) εἰς πόνον χρήσασθαι καὶ κάματον, καὶ τοῦτο ἀδίκως, πάλιν νίκησον καὶ ὑπερβηθι τὴν ἀδικον ὀπτηυμίαν ἐκείνου. τὸ γὰρ ἀγγαρεύσαι, τοῦτο ἐστι, τὸ ἀδίκως ἐλκῦσαι, καὶ αὖθις λόγου ὄντος, καὶ ἐπηρεάζοντα. ἀλλ' ὅμως καὶ ὡς εἰς τοῦτο ἐσο ὑποτεταγμένος, ὥστε πλέον ποιεῖν, ἢ ἐκεῖνος βούλε) ποίησον.

42 Τῷ αἰτοῦντί σε δίδου, καὶ τὸν θέλοντα δανείσασθαι ἀπὸ σοῦ μὴ ἀποστραφῇς.

κ. ἀναμίγνυσι Ταῦτα ἐκείνων ἐλάττονα· ἀλλὰ μὴ θαυμάσῃς. τοῦτο γὰρ εἴωθεν ἀεὶ ποιεῖν· ἀναμίγνυσι τοῖς μεγάλοις τὰ μικρά. Εἰ γὰρ ταῦτα μικρὰ πρὸς ἐκεῖνα, ἀλλ' ἔτωσαν ⓐ τὰ ἑτέρων λαμβάνοντες, ⓐ πόρναις τὰ ἑαυτῶν διαιρέμοντες καὶ διπλοῦν ἑαυτοῖς ἀνάπτοντες πυρὸν, καὶ διὰ τῆς πρόσοδον τῆς ἀδίκου, καὶ διὰ τῆς δαπάνης τῆς ὀλεθρίας. δηλόσημα δὲ ἐνταῦθα, τὸ μὴ τῶν τόκων λέγειν συμβόλαιον· ἀλλὰ τοῦ χρῆσιν ἁπλῶς. ἀλλαχοῦ δὲ αὖθις καὶ ὑπιτείνει, λέγων ἐκείνοις δίδοναι, πρὸ ὧν ἂ πρόσοδον ὠμην ἀπολαμβάνειν.

κ. λαμβάνειν.

43 Ηκούσατε ὅτι ἐρρέθη· ἀγαπήσεις τὸν πλησίον σου καὶ μισήσεις τὸν ἐχθρόν σου· Λε. ιθ. ις.

44 Εγὼ δὲ λέγω ὑμῖν, ἀγαπᾶτε τοὺς ἐχθροὺς ὑμῶν, καὶ εὔχεσθε ὑπὲρ τῶν ἐπηρεαζόντων καὶ διωκόντων ὑμᾶς· εὐλογεῖτε τοὺς καταρωμένους ὑμᾶς, καλῶς ποιεῖτε τοῖς μισοῦσιν ὑμᾶς,

κ. ὡσ. 45 Οπως γένησθε ὅμοιοι τοῦ πατρὸς ὑμῶν τοῦ ἐν τοῖς οὐρανοῖς· ὅτι τὸν ἥλιον αὐτοῦ ἀνατέλλει ⓦ πονηροὺς καὶ ἀγαθοὺς, καὶ βρέχει ἐπὶ δικαίους καὶ ἀδίκους. Ορα τὴν κορωνίδα τῶν ἀγαθῶν πῶς ἐπέθηκεν ἐφάπτων. διὰ γὰρ τοῦτο παιδεύει μὴ μόνον ῥαπιζομένους φέρειν, ἀλλὰ καὶ προέχειν τὴν δεξιὰν σιαγόνα· μηδὲ μόνον ὦ χιτῶνι ὃ ἱμάτιον προσθέναι, ἀλλὰ καὶ δύο χιλιοδύναμα μίλια τρέχειν ἀγγαρεύοντι, ἵνα ὃ πολλῷ· πλέον τούτων μετ' εὐκολίας δέξῃ πάσης. καὶ τί τούτων πλέον ἐστί, φησι; ὃ ⓦ ποιοῦντα τοιοῦτα μηδὲν ἐχθρὸν ἔχειν· μᾶλλον δὲ καὶ τοῦτο ἕτερόν τι πλέον. ἂ γὰρ εἶπε, μὴ μισήσῃς, ἁπλᾶ καὶ ἀγάπησον. ὃν εἶπε, μὴ ἀδικήσῃς, ἀλλὰ καὶ καλῶς ποίησον. Εἰ δέ τις ἀκριβῶς ἐξετάσειε, καὶ τούτων αὐτῶν ἑτέραν ὄψεται προθυμίαν πολλῷ μείζονα τούτων. οὐδὲ γὰρ ἁπλῶς ἐκέλευσεν ἀγαπᾶν, ἀλλὰ καὶ εὔχεσθαι. Εἶδες ὅσους ἀνέβη βαθμοὺς, καὶ πῶς εἰς αὐτὸν ἡμᾶς τὸν κορυφαῖον ἔστησε τῆς ἀρετῆς; σκόπει δὲ ἄνωθεν ἀριθμῶν· πρῶτός ἐστι βαθμὸς, μὴ ἄρχειν ἀδικίας· δεύτερος, μετὰ τὸ

κ. ἄρξασθαι, ἄρξαι, ⓦ ἀδικουῦντα τοῖς ἴσοις μὴ ἀμύνεσθαι· τρίτος, μὴ δρᾶσαι ⓦ ἐπηρεάζοντα ταῦτα, ἄρα ἔπαθεν, ἀλλ' ἠνύχασε· τέταρτος, τὸ καὶ προσέχειν ἑαυτὸν εἰς τὸ παθεῖν κακῶς· πέμπτος, τὸ καὶ πλέον προσέχειν ἢ ἐκεῖνος βούλε) ὁ ποιήσας· ἕκτος, τὸ μὴ μισῆσαι τὰ ταῦτα ἐργαζόμενον· ἕβδομος, τὸ καὶ ἀγαπῆσαι· ὄγδοος, τὸ καὶ εὐεργετῆσαι· ἔνατος, τὸ καὶ τὸν Θεὸν ὑπὲρ αὐτῶν προσκαλεῖν. Εἶδες ὕψος φιλοσοφίας; δεῖ γοῦν τοῦτο καὶ λαμπρὸν τὸ ἐπαθλον ἔχει. ὑπὲρ γὰρ μέγα καὶ τὸ ὑπόδειγμα καὶ νεανικῆς δεόμενον ψυχῆς καὶ πολλῆς τῆς ἀσυνδησης, καὶ μισθὸν αὖθις οἷον εἰκὸς τοιοῦτον, οὗ οὐδενὶ τῶν προτέρων. οὐδὲ γῆς ἐνταῦθα μέμνηται, καθάπερ ὑπὲρ τῶν πραέων· οὐδὲ προσκλήσεως ἐλέους, καθάπερ ὑπὲρ τῶν πενθούντων καὶ ἐλεημόνων· οὐδὲ βασιλείας οὐρανῶν· ἀλλ' ὃ πάντων τούτων ἐστὶ φιλοσοφώτερον, τὸ γενέσθαι ὁμοίους τῷ Θεῷ, ὡς ἂν ἐφικτὸν γένεσθαι εἰκός. ὅπως γένησθε, φησίν, ὅμοιοι τοῦ πατρὸς ὑμῶν τοῦ ἐν οὐρανοῖς. Εἰ δέ μοι προσμένεις, πῶς οὐδὲ ἐνταῦθα, οὐδὲ ἐν τοῖς ἔμπροσθεν πατέρα ἑαυτῷ καλεῖ· ἀλλ' ἐκεῖ μὲν Θεὸν καὶ βασιλέα μέγαν, ὅτε περὶ τῶν ὅρκων διελέγετο· ἐνταῦθα δὲ πατέρα αὐτῶν. ποιεῖ δὲ τοῦτο, τὴν προσήκουσαν χάριν ἀπονέμων τοῖς τούτων τροφεῦσι λόγοις. Εἶτα ἐπεξηγούμενος τὴν ὁμοιότητα, ἐπάγει, ὅτι ⓦ ἥλιον αὐτοῦ ἀνατέλλει ἐπὶ πονηροὺς καὶ ἀγαθοὺς, καὶ βρέχει ἐπὶ δικαίους καὶ ἀδίκους. καὶ γὰρ αὐτὸς οὐ μόνον οὐ μισεῖ, φησίν, ἀλλὰ καὶ εὐεργετεῖ τοὺς πονηροὺς πολλῷ μείζοντας· καίτοι οὐδαμοῦ τὸ γινόμενον ἴσον, οὐ μόνον διὰ τὴν τῆς εὐεργεσίας

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

γησίας ὑπερβολήν, ἀλλὰ καὶ δι' ἣν τὴν τῆς ἀξίας ὑπερβολήν. σὺ μὲν γὰρ διὰ τὸ ὁμοδούλου καταφρονῇς, ἐκεῖνος δὲ διὰ τὸ δούλου τὰ μεῖζα εὐεργετήματος· καὶ σὺ μὲν ῥήματα χαρίζῃ βουλόμενος ὑπὲρ αὐτοῦ, αὐτὸς δὲ σώματα πολὺ μεγάλα καὶ θαυμαστά, τὸν ἥλιον ἀνατέλλων, καὶ τὸν ὑετὸν ἐπισείων ὁμοίως δικαίοις καὶ ἀδίκοις. ἀλλ' ὅμως καὶ ὕστερον δίδωμι ἴσον εἶναι, ὡς ἄνθρωπον ἐλεῆσαι εἰκός. μὴ τοίνυν μίσει τὸν τοιοῦτον πονηρόν, τοιούτων ὄντα σοι πολλῶν ξένον ἀγαθῶν, καὶ εἰς τοσαύτην ἄγοντά σε τιμήν, μὴ καθαρῶς ἐπηρεάζοντι· ἐπεὶ καὶ μὴ πόνου ὑπῆρξε, τοῦ δὲ καρποῦ ἀπεστερήθης· καὶ τὴν μὲν ζημίαν οἴσεις, τὴν δὲ μισθὸν ἀπολεῖς· ὥσπερ ἑκάτερα ἐστὶν ἀνίσα, ὃ χαλεπώτερον· τὸ σωμεῖν ἡμᾶς τὸ ἔλαττον τούτου μὴ φέρειν. καὶ πῶς ἔνι τοῦτο γενέσθαι, φησί; Θεὸν ἰδὼν ἀνθρωπον ἡμόμενον, καὶ τοσοῦτον καταδεόμενον, καὶ τοσαῦτα παθήματα δι' σὲ, ἐρωτᾷς ἔτι καὶ ἀμφιβάλλεις, πῶς δυνατὸν τοῖς ὁμοδούλοις ἀφεῖναι τὰς ἀδικίας; οὐκ ἀκούεις αὐτοῦ ἐν τῷ φαινομένῳ λέγοντος,

Λευκ. κγ. λδ. Ρω. η. λδ. ΑΦΕΣ ἀνθρώποις, καὶ ὁ πατὴρ ὑμῶν ὁ οὐράνιος ἀφήσει καὶ ὑμῖν τὰ παραπτώματα ὑμῶν; οὐκ ἀκούεις Παύλου λέγοντος, Ὅτι ὁ αἰχμαλωτίσας ἀνέβη καὶ θήλυμος ἐν δεξιᾷ, ἐντυγχάνει ὑπὲρ ἡμῶν; οὐχ ὁρᾷς ὅλη καὶ μετ' εἰρήνης καὶ μετὰ τὴν ἀναίλημψιν τοῖς αὐτηκόοις Ἰουδαίοις ἔπεμπε τοὺς ἀποστόλους τὰ μεῖζα οἴσοντας ἀγαθά, καὶ τοῦτα μείζονος μεῖζα πρὸς αὐτοὺς πάθη δεινά; ἀλλὰ σὺ μεγάλα ἠδίκησαι; καὶ τί τοιοῦτον πέπονθας, οἷ ὁ σὸς δεσπότης, δεσμούμενος, ῥαπιζόμενος, μαστιζόμενος, τοὺς οἰκέτας ἐμπιπόμενος, θανάτου ὑπομένων, καὶ θανάτου τοῦ θανάτων ἀπόνων αἴτιον, μετὰ τοσαύτης εὐεργεσίας; εἰ δὲ καὶ μεγάλα ἠδίκησαι, καὶ δι' τοῦτο μάλιστα εὐεργέτησον, ἵνα καὶ σαυτῷ λαμπροτέραν ποιήσῃς τὸν στέφανον, καὶ τὸν ἀδελφὸν τῆς ἑκάστης ἀπαλλάξῃς ὀργῆς. ἐπεὶ καὶ οἱ ἰατροί, ὅταν λοιδορῶνται καὶ ὑβρίζωνται, τοῖς μανιώδεσι, τότε μάλιστα αὐτοῦ ἐλεοῦσι καὶ προσκυδάζονται πρὸς τὴν ἐκείνων διόρθωσιν, εἰδότες ὅτι τῆς ὑπερβολῆς τοῦ νοσήματος ἡ ὕβρις ἐστί. καὶ σὺ τοίνυν τοῦτο πρὸ τοῦ ὀπισθοδρομοῦντος ἔνεκα γνώμην, καὶ ὅταν κέχρησο τοῖς ἀδικοῦσιν. ἐκεῖνοι γὰρ εἰσὶ μάλιστα νοσοῦντες καὶ τὴν βίβλον ὑπομένοντες [ἅπασαν.] ἀπάλλαξον τοίνυν αὐτοῦ τῆς χαλεπῆς ταύτης ἐπηρείας, καὶ δὸς ἄφεσιν τῷ ὀργῇ, καὶ δαίμονος ἐλευθέρωσον χαλεποῦ, τοῦ θυμοῦ. καὶ γὰρ δαιμονῶντας ἐαν ἴδωμεν, δακρύομεν· ὅχι δὲ αὐτοὶ ὑπὸ δαίμονος ἀπουδάζομεν δαιμονᾶν. τοῦτο καὶ νῦν ποιῶμεν ἐπὶ τῶν ὀργιζομένων. καὶ γὰρ ἐκείνοις ἐοίκασιν οἱ θυμούμενοι, μᾶλλον δὲ κἀκείνων εἰσὶν ἀθλιώτεροι, μετ' ἀσθενείας μαινόμενοι· διὰ καὶ ἀσυγγνώστου αὐτῶν ἡ καταπληξία. μὴ τοίνυν ἐπέμβαινε χειμῶνι, ἀλλὰ καὶ ἐλέει. καὶ γὰρ καὶ ὑποχολῆς ἵνα ἀνοχλούμενον δὲ σκοτοδινιῶντα καὶ ἐμέσαι ἐπειγόμενον πονηρὸν τοῦτον χυμὸν ἴδωμεν, χεῖρα ὀρέγομεν καὶ παραβασάζομεν· ἀπαρεσκόμενον, κἂν δὲ ἱμάτιον μολύνωμεν, οὐκ ἀποφεύγομεν· ἀλλ' ἐν μόνον ζητοῦμεν, ὅπως ἐκεῖνον ἀπαλλάξωμεν τῆς χαλεπῆς ταύτης νοσηρείας. τοῦτο τοίνυν καὶ ὅτι τούτων ποιῶμεν, καὶ παραβασάζωμεν ἐμοιοῦντες καὶ ἀπαρεσκομένους· μὴ δὴ τοίνυν ἀφῶμεν, ἕως ἂν ἅπασαν ἀποθῆται τὴν πικρίαν· καὶ τότε σοι χάριν εἴσεται μείζω, ἐπειδὴ παύσηται, ὅτε γνώσεται σαφῶς, ὅσης αὐτὸν ἀπήλλαξας ταραχῆς. καὶ τί λέγω τὴν πρὸς ἐκείνου χάριν; ὁ γὰρ Θεὸς σε δικαίως τεθαυμάσεται καὶ μυρίοις ἀμείψεται καλοῖς, ὅτι σὸν ἀδελφὸν νοσήματος ἠλευθέρωσας χαλεποῦ· κἀκεῖνος δὲ ὡς δεσπότην τιμήσει, διὰ πάντος αἰδούμενός σε τὴν ὑπεῖκειαν. ὅχι ὁρᾷς τὰς λιπαρὰς γυναῖκας, πῶς δάκνουσι τοὺς πρεσβύτας, καὶ οὐκ ἀλγοῦσιν ἐκεῖναι; μᾶλλον δὲ ἀλγοῦσι μέν, φέρουσι δὲ ἡδέως, διὰ σωφροσύνην τὰς ὀδυνωμένας καὶ διὰ τὴν ἀκοπωμένας ὑπὸ τῆς ὠδῖνος. τούτους καὶ σὺ ζήλωσον, καὶ μὴ γίνου σὺ μαλακώτερος γυναικῶν. ἐρεῖδω γὰρ τέκωσιν αἱ γυναῖκες αὗται (γυναικῶν γάρ εἰσι μικροψυχότεροι) τότε σε ἄνδρα εἴσονται· εἰ δὲ βαρέα τὰ ὀπτάγματα, ἐννόησον ὅτι διὰ τοῦτο πρόγεγονεν ὁ Χριστὸς, ἵνα τοῦτα ἐν τῇ ἡμετέρᾳ καταφυτεύσῃ διανοίᾳ, ἵνα δὲ ἐχθροῖς καὶ φίλοις χρησίμως κατασκευάσῃ. διὰ τοῦτο καὶ ἑκατέρων τούτων ὀπτωμένων ἀθεῖται κελεύει· τὸν μὲν ἀδελφὸν, λοιπὸν αὖ λέγει, ἐὰν σοφέρῃς τὸ δῶρόν σου· τὸν δὲ ἐχθρὸν, ἐπειδὴ νομοθετῇ φιλεῖν

τε

τε ϗ εὐχεσθαι ὑπὲρ αὐτῶν. ϗ οὐκ ἀπὸ τοῦ ὑποδείγματος τοῦ Χυ̃ τ̃ Θεοῦ ἀναγκάζομαι μόνον εἰς τοῦτο, ἀλλὰ ϗ ἐκ τοῦ ἀνθρώπου.

46 Εἰ γὰρ ἀγαπήσητε, φησι, τοὺς ἀγαπῶντας ὑμᾶς, ἵνα μισθὸν ἔχητε; οὐχὶ ϗ οἱ τελῶναι τὸ αὐτὸ [τοῦτο] ποιοῦσι; Τοῦτο ϗ ὁ Παῦλος φησιν· Οὕτω μέτρεμις αἱ- Εβ.ιβ.δ.
μάτως ἀντικατέστητε πρὸς τὴν ἁμαρτίαν ἀνταγωνιζόμενοι. εἰ μὲν οὖν ζῶντα ποιῇς, μὴ τοῦ Θεοῦ ἔσηχας· εἰ δὲ ἐγκαταλιμπάνῃς αὐτά, μὴ τῶν τελωνῶν. Εἶδες πῶς οὐ τοσοῦτον τὸν κ. μέσον.
ἀντιλογίαν τὸ μέγεθος, ὅσον τὸν πρόσωπον τὸ διάφορον; μὴ τοίνυν τοῦτο λογιζώμεθα, ὅτι δυσχερές τὸ ἐπίταγμα, ἀλλὰ ϗ τὸ ἔπαθον ἐννοήσωμεν, ϗ λογισώμεθα ἵνος ὅμοιοι γινόμεθα κατορθώσαντες, ϗ ἵνος ἴσοι διαμαρτήσαντες. τῷ μὲν οὖν ἀδελφῷ κελεύει καταλλάττεσθαι, ϗ μὴ πρότερον ἀφίσαι, ἕως αὐτὸν ἕλκυσαν ἀνέλωμεν· ὅταν δὲ περὶ πόντων διαλέγηται, οὐκ ἔτι ταύτῃ ἡμᾶς ὑποβάλλει τῇ ἀνάγκῃ, ἀλλὰ ϗ πρὸ ἡμῶν ἅπαντος μόνον, βούλεται ϗ ταύτῃ ποιεῖν τὸν νόμον. ὅπερ γὰρ εἶπεν ὅτι ἐδίωξαν τοὺς προφήτας τοὺς πρὸ ὑμῶν, ἵνα μὴ δόξῃ ταῦτα αὐτὰ ἁπλῶς πρὸς αὐτοὺς ἔχωσι, κελεύει μὴ μόνον φέρειν ταῦτα ποιοῦντας, ἀλλὰ ϗ ἀγαπᾶν. ὁρᾷς πῶς προῤῥιζον τὸν θυμὸν ϗ τὴν ἐπιθυμίαν τὴν περὶ τὰ σώματα, τὴν περὶ τὰ χρήματα, τὴν περὶ τὴν δόξαν, τὴν περὶ τὸν πρόσκαιρον βίον ἀναιρῇ; τοῦτο γὰρ ἐποίησε μὲ ἐξ ἀρχῆς, πολλῷ πλέον ϗ νυνί. ὁ τε γὰρ πλοῦτος ϗ ὁ πρόσκαιρος ϗ ὁ πρεπὼν κενοῦται τὴν ὀργήν· ὁ τε δίκαιος ϗ ἐλεήμων κενοῖ τὴν τῶν χρημάτων ἐπιθυμίαν· ὁ καθαρὸς τὴν καρδίαν ἀπήλλακται ἐπιθυμίας πονηρᾶς· ὁ δεδιωγμένος ϗ φέρων τὰς ὕβρεις ϗ καλῶς ἀκούων πᾶσαν ἀσκῇ λοιπὸν τὴν τῶν πρόσκαιρων προσκοπήν, ϗ τύφου ϗ κενοδοξίας ὄντι καθαρός. λύσας τοίνυν τὸν δεσμὸν τοῦτον τὸν ἀκροατὴν ϗ εἰς τοὺς ἀγῶνας ἀλείψας, πάλιν ἑτέρως ἀναπαύει ταῦτα παθήματα, ϗ μᾶλλον πλείονος τῆς ἀκριβείας. ἐξαίδιος γὰρ ἀπὸ τῆς ὀργῆς ϗ πόνου σκοπὸς τὸ παθεῖν τοῦτο ϗ νοῆσαι, ϗ εἰπών, ὁ ὀργιζόμενος τῷ ἀδελφῷ [αὐτοῦ,] ϗ ὁ μωρὸν καλῶν, ϗ ὁ ῥακά, κολαζέσθω· ϗ ὁ προσφέρων τὸ δῶρον μὴ πρότερον προσοίτω τῇ τραπέζῃ, ἕως αὐτὸν καταλύσῃ τὸν ἔχθρον· ϗ ὁ δικαίαν ἔχων, πρὶν ἢ τὸ δικαστήριον ἰδεῖν, φίλον ποιείτω τὸν ἐχθρόν, ὅτι τὸν ἐπιθυμίαν μεταβάλλει πάλιν. ϗ τί φησιν; ὁ ἐμβλέπων ἀκολάστοις ὀφθαλμοῖς, ὡς μοιχὸς γεγένηται· ὁ σκανδαλιζόμενος ὑπὸ γυναικὸς ἀκολάστου ἢ ὑπὸ ὑδρὸς, ἢ ὑπὸ ἄλλου τινὸς τῶν αὐτῶν προσπιπτόντων, ἀποκόπτειν κελεύει τοὺς τόπους ταύτους· "ὁ νόμῳ γὰρ μὴ κατέχων γυναῖκα," μηδέποτε αὐτὴν ἐκβαλλέτω ϗ ποιείτω ἑτέραν βλεπέτω. διὰ γὰρ τούτων τῆς πονηρᾶς ἐπιθυμίας τὰς ῥίζας ἀφῄρει. Εἶτα ἀνέδησεν τὸν χρημάτων τὸν ἔρωτα ἀναιρεῖ, κελεύων μήτε ὀμνύειν, μήτε ψεύδεσθαι, μήτε αὐτὸν ἀντὶ τοῦ χαίρειν τοῦ χαιρονίσκου, ὃν ἂν τις ἐνδεδυμένος τύχῃ· ἀλλὰ ϗ τὸ ἱμάτιον προέσθαι ἕτοιμον βουλομένῳ, ϗ τὸν τοῦ σώματος χρῆσιν, ἐκ πολλῆς προθυμίας τὰ περὶ τὰ χρήματα ἀναιρῶν πόθον· ϗ τότε μὲν ταῦτα πρῶτα καὶ τὸν ποικίλον τῶν ἐπιταγμάτων τούτων στέφανον ἐπάγει, λέγων· Οὗ χεσθε γὰρ τῶν ἐπηρεαζόντων ὑμᾶς, ἐπ' αὐτοῦ ἄνω τοῦ ἀκροτάτου τῆς φιλοσοφίας ἀναλογῶν [τοῦ] κορυφοῦ. ὥσπερ γὰρ τοῦ ῥᾴονος εἶναι μεῖζον τὸ ῥαπίζεσθαι, ϗ τοῦ ἐλεήμονα εἶναι τὸ ϗ τὸ ἱμάτιον προΐεσθαι μὴ χαιρονίσκου, καὶ τὸ δίκαιον εἶναι τὸ καὶ ἀδικούμενον φέρειν, καὶ τοῦ εἰρηνοποιοῦ εἶναι τὸ. καὶ ῥαπιζόμενον καὶ ἁρπαζόμενον ἕπεσθαι· οὕτω ϗ τὸ διώκεσθαι τὸ διωκόμενον ὠλεῖν. ὁρᾷς πῶς μικρὸν εἰς αὐτὰς ἡμᾶς ἀνάγει "τὸ οὐρανοῦ τὰς ἀφίδας; ἵνος οὖν ἂν εἴημεν ἄξιοι, ἵνα πρὸς τὸν Θεὸν κελευόμενοι τὸν ζῆλον ἔχειν, καὶ τὰ χαλεπὰ μηδὲ τοὺς τελώνας γινόμενοι ἴσοι; Εἰ γὰρ τὸ φιλεῖν τοὺς φιλοῦντας, τελωνῶν καὶ ἁμαρτωλῶν καὶ ἐθνικῶν· ὅταν μηδὲ τοῦτο ποιῶμεν (οὐ γὰρ ποιοῦμεν αὐτὸ βασκαίνοντες δοκιμοῦσι τοῖς ἀδελφοῖς) ποίαν ἔχομεν δίκην, ὑπερβαίνειν τὰς γραμματέας κελευόμενοι, ϗ τοὺς ἐθνικοὺς ἑαυτῶν κατώτερα; πῶς οὖν ὀφθησόμεθα "βασιλείαν, εἰπέ μοι; πῶς ἐπιβησόμεθα τῶν ἱερῶν προθύρων ἐκείνων," ὅταν τοὺς τελώνας ἀμείνους γινόμενοι;

κ. μὴ δέπω

κ. παρεμπίπτον,

κ. ἐπιστρέφ μένα.

κ. φείδεσθε

κ. περὶ

κ. τὴν ὑπερκειμένων

κ. λέα.

κ. ἀλλ

νόμιμοι; τοῦτο γὰρ ἠνίξατο εἰπών· οὐχὶ ἡ τελώνια τὰ αὐτὰ ποιοῦσιν; ὁ δὲ μάλιστα θαυμάσας αὐτοῦ τῆς διδασκαλίας ἐστίν· ὅτι πάντα χοῦ ἐπαθλα τῶν ἀγώνων ὑπὲρ μὴ πολλῆς τῆς περιουσίας, οἷον καὶ τὸ βασιλεύειν τῶν οὐρανῶν, καὶ τὸ υἱὸς Θεοῦ εἶναι, καὶ τὸ ὁμοίους Θεοῦ, καὶ τὸ ἐλεᾶσθαι, καὶ τὸ παῤῥησιάζεσθαι, καὶ τὸ ἐν οὐρανοῖς ἔχειν πολιτεύματα· εἰ που δὲ καὶ λυπηρὰν μνησθῶσιν ἔδει, ὑφειμένως τοῦτο ποιεῖ. τὸ μὲν γὰρ τῆς γεέννης ὄνομα ἅπαξ ἐν τοσούτοις τέθεικε λόγοις· ἡ ἑτέροις δὲ μύριοις ἐπαπειλημένως καὶ ἐντρεπτικώτερον μᾶλλον, ἢ ἀπειλητικώτερον κεχρημένος τῷ λόγῳ, διῤῥηδην τὸ ἀκροατὴν λέγων· Οὐχὶ καὶ τελώνια τὰ αὐτὰ ποιοῦσι; καὶ, Ἐὰν τὸ ἄλας μωρανθῇ· καὶ, Ἐλάχιστος κληθήσεται ἐν τῇ βασιλείᾳ τῶν οὐρανῶν. ἔστι δ' ὅπου καὶ τὰ ἁμαρτήματα δι' ἡλώσεως ὑβρισε, τὸ φορτικὸν τῆς ἡλώσεως τῷ ἀκροατῇ δίδους συνιδεῖν. ὡς ὅταν λέγῃ· ἐμοίχευσεν αὐτὴν ἐν τῇ καρδίᾳ αὐτοῦ· καὶ ὁ ἀπολύων ποιεῖ αὐτὴν μοιχευθῆναι· καὶ τὸ περιττὸν τοῦτο ἐν τῷ πονηροῦ ἐστι. τοῖς γὰρ νοῦν ἔχουσιν αὐτὸ τὸ τῆς ἡλώσεως ὀνόματος ἀρκεῖ καὶ τὸ τῆς ἁμαρτίας μέγεθος εἰς σωφρονισμόν. διὸ δὴ καὶ ἐνταῦθα τοὺς ἐθνικοὺς καὶ τοὺς τελώνας εἰς μέσον ἄγει, τῇ ποιότητι τοῦ προσώπου τὸν μαθητὴν ἐντρέπων. ὁ καὶ ὁ Παῦλος ἐποίει λέγων· Μὴ λυπεῖσθε ὡς καὶ οἱ λοιποὶ οἱ μὴ ἔχοντες ἐλπίδα· καὶ πάλιν, καθάπερ καὶ ἔθνη τὰ μὴ εἰδότα τὸν Θεόν. καὶ δείκνυσιν ὅτι οὐδὲν ἐπαχθὲς ἅπαντες, ἀλλὰ μικρῷ πλέον τοῦ εἰωθότος, φησίν· οὐχὶ καὶ οἱ ἐθνικοὶ τὸ αὐτὸ ποιοῦσιν; ἀλλ' ὅμως οὐχ ἵστησιν ἐνταῦθα τὸν λόγον· ἀλλ' εἰς τὰ ἐπαθλα αὐτὸν καταλύει καὶ τὰς χρηστὰς ἐλπίδας, λέγων·

Μαρ. 8. γ. Λουκ. 18. λδ. Ματθ. ε. 18.

α. Θεσσ. δ. ιδ.

ΗΘΙΚΟΝ 48 Γίνεσθε οὖν τέλειοι, ὡς καὶ ὁ πατὴρ ὑμῶν ὁ οὐράνιος. Καὶ πολὺ τὸ τῶν οὐρανῶν ὄνομα διαπείρει πάντα, καὶ ἀπὸ τοῦ τόπου τὰ φρονήματα αὐτῶν διεγείρων. τέως γὰρ ἀθενέστερον καὶ παχύτερόν πως ἦσαν διακείμενοι. Ἀπόντα οὖν ἐννοοῦντες καὶ εἰρηνεύοντα, πολλοὶ καὶ τοὺς ἐχθροὺς ὑπεδεξώμεθα τοῦ ἀγάπου· καὶ τὸ καταγέλαστον ἐκεῖνο ἔθος ἐκβάλωμεν, ὅπερ πολλοὶ τῶν ἀλογωτέρων ὑπομένουσιν, αἰσχυνόμενοι τοὺς ἀπόντων τοῦτο ποιεῖν, ὃ μὴ ἔχει πολιτείαν, μὴ ζηλοῦντες, ὃ δὲ ὄντι καταγέλαστον, τοῦτο διώκοντες. Ἵνος οὖν ἕνεκεν ὁ ποιητὴς αὐτὸ ποιεῖ; ὅπως τὸ ἀναμένῃ, φησίν. ὅπως τοῦτο ἐπαύσατο. καὶ Ἡ τούτης τῆς ἀγωνίας χεῖρον ἦν; ὅπως γὰρ τοῦτο ἐπαύσατο, φησι, μαθοῦ μοι γενέσθαι ποιητής, οὐ βουλόμενος ὑπολαβεῖν τῆς ἀποφάσεως ταύτης. ἀλλὰ μὴ οὕτω ἐκβάλῃς σε ποιεῖν ποιητής, οὐδέν σοι ἔσται πλέον καὶ ποιήσαντι· ἐὰν δὲ σὺ ποιητὴς ὑπομείνῃς τὴν ποίησιν, ἐπεφαλαιώσω τὸν τύφον ἐκείνου, καὶ ἀναφλήσῃ ἵνα ἐκ τῆς ἀπονοίας αὐτὸν τὸν καρπὸν ἐκτύλησας. πῶς οὖν οὐκ ἐκάστης ἀνοίας τοσαῦτα μηλωτὰς καρποῦσθαι ἀπὸ φιλονεικίας, ποιοῦσα ὁ κέρδος, καὶ καταγινώσκουσάν αὐτῆς, τοῖς αὐλοῖς ἐπαίρεσθαι; εἰ γὰρ διὰ τοῦτον αὐτὸν αἰτίαν, ὅτι ποιητὴς ἀναμένει τὴν ἑτέραν ποίησιν, ἵνος ἕνεκεν ζηλοῖς ὅταν ἐγκαλεῖς, καὶ ὅταν ἔφης εἶναι πονηρόν, τοῦτο ὡς ἀγαθὸν μιμεῖσθαι ἐπαύσαμας; ὁρᾷς πῶς οὐδὲν ἀνθρώπου κακίᾳ συζῶντος ἀνοητότερον; διὸ παραλαλῶ, φύγωμεν τὸ πονηρὸν τοῦτο ἔθος καὶ καταγέλαστον. καὶ γὰρ μυρίας ἀνίστησι φιλίας τὸ νόσημα τοῦτο, καὶ πολλὰς ἔθρας εἰργάσατο. διὰ δὴ τοῦτο φθάνωμεν αὐτὸν ἡμεῖς. ἡδὺ γὰρ ῥαπίζεσθαι καὶ ἁρπάζεσθαι καὶ γυμνοῦσθαι πρὸς ἐχθρῶν κελευόμενοι, καὶ φέρειν, ποίας ἂν εἰκότως συγνώμης ἀξιοι, ὃν ποιητὴς φιλῇ τοσαύτῃ ὑπεδεκνύμενοι φιλονεικίᾳ; ἀλλὰ καταφρονοῦμεθά, φησι, καὶ διαπτυόμεθα, ὅταν αὐτῷ χαριζώμεθα τοῦτο. καὶ ἵνα μὴ καταφρονήσῃ αὐθέκτου, ποιητὴς γενοῦ Θεῷ; καὶ ἵνα μὴ καταφρονήσῃ σε ὁ μαινόμενος ὁμόδουλος, καταφρονῆς τοσούτου, τοσαῦτά σε ὑβριστικότος; εἰ γὰρ ἄτοπον τὸ καταφρονῆσαι σου ὁμότιμον, πολλῷ μᾶλλον τὸ σε καταφρονῆσαι τοιούτου Θεοῦ. μὴ τοίνυν τοῦτο κἀκεῖνο σκόπει, ὅτι ὅταν σε καταφρονήσῃ, τότε σοι μείζονος μισθοῦ ποιητὴς γενήσῃ.

Διὰ

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ἀφ' ἑαυτῶν νόμους εἰσηγούμενοι, ὅπερ ἐστὶ τῶν αὐτῶν νόμων ἥκουσας. τοῦτο γὰρ ποίας ἂν δίκης ὑπάρξειεν; πόσων ἀφανισμῶν; ἐμοὶ γοῦν δοκοῦσι καὶ κατάφωρον εἶναι τὸν τοῦ Θεοῦ, ἢ ὑμᾶς ἀθετεῖν τὸν τῶν βασιλέων ἀπόρρητον. οὐδὲν γὰρ, οὐδὲν τῆς δόξης ταύτης ἴσον. ταύτῃ τοίνυν διώκωμεν ὅπως, ὡς αὐτὸς ἐκέλευσε, καὶ τῶν ἀνθρωπίνων μηδένα ποιούμενοι λόγον, ἀλλὰ τῇ ἀκριβεῖ φιλοσοφίᾳ ἐπιδεικνύμενοι δίχα πόνων*, ὅπερ ἐστὶν ἑαυτῶν βίον οἰκονομῆσαι. καὶ γὰρ τῶν ὑφειμένων καὶ τῶν ἐκείνοις τερφαίνων ἐντεῦθεν ἤδη καρπωσόμεθα τὰ ἀγαθὰ, ὡς ἄγγελοι μὴ τῶν ἀνθρώπων βαδίζοντες, ὡς αἱ τῶν ἀγγέλων δυνάμεις ἐν τῇ γῇ περιπολεῖσθαι τερπόμεναι, καὶ πάσης μὲν ἐπιθυμίας, πάσης δὲ ἐκτὸς μένοντες ταραχῆς· καὶ μὴ τῶν ὑπὸ πόνων, καὶ τὰ ἐπόρρητα ἀπολαμβάνομεν ἀγαθά· ὧν γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ᾧ ἡ δόξα καὶ τὸ κράτος καὶ ἡ προσκύνησις σὺν τῷ ἀνάρχῳ πατρὶ καὶ τῷ ἁγίῳ καὶ ἀγαθῷ πνεύματι, νῦν καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Ομιλ. ιθ. ΠΡΟΣΕΧΕΤΕ ΤΗΝ ΕΛΕΗΜΟΣΥΝΗΝ ΥΜΩΝ μὴ ποιεῖν ἔμπροσθεν τῶν ἀνθρώπων πρὸς τὸ θεαθῆναι αὐτοῖς. κβ΄ σ.

ΤΟ τυραννικώτερον πάντων λοιπὸν ὀξύνει πάθος, τὴν λύσσαν καὶ τὴν μανίαν τὴν περὶ τὴν κενοδοξίαν ἐπιμανθάνοντες τοῖς κατορθοῦσιν. ὅθεν ἀρχῆς μὲν οὐδὲν περὶ αὐτοῦ διελέχθη. ἐν ᾧ δὲ ἐνῶν περὶ ἐκείνων, πρὶν ἢ πεῖσαι ποιεῖν τι τῶν δεόντων, περὶ τοῦ πῶς δεῖ ποιεῖν αὐτὰ καὶ μετέπειτα διδάσκει. ὅπερ οὖν ἐνῆμεν εἰς φιλοσοφίαν, ὥστε λοιπὸν καὶ τὴν περιουσίαν ἐκείνην καθαίρειν λύπην. οὐδὲ γὰρ ἁπλοῦς ἦν κτῆσαι τοῦτο τὸ νόσημα, ἀλλ' ὅταν πολλὰ κατορθώσωμεν τῶν ἐπιζητουμένων. ἔδει τοίνυν πρότερον φυτεῦσαι τὴν ἀρετὴν, καὶ τότε τὸ ἐπιρρέαζον αὐτῆς καρπὸν ἀνελεῖν πάθος. ὅρα πόθεν ἄρχεται. ἀπὸ νηστείας καὶ βυκῆς καὶ ἐλεημοσύνης. τούτοις γὰρ μάλιστα ἐμφιλοχωρεῖν εἴωθε τοῖς κατορθώμασιν. ὁ γοῦν Φαρισαῖος ἐντεῦθεν ἐφυσᾶτο, λέγων· Νηστεύω δὶς τῆς ἑβδομάδος, ἀποδεκατεύω μου τὰ ὑπαρχόντα. ἐν ᾧ καὶ αὐτῇ ἡ κενοδοξία τὴν βυκῆν, πρὸς ἐπίδειξιν αὐτοῦ ποιούμενος. ὅπερ οὖν ὀφείλει ἄλλος πρὸς ἄλλον, τοῦ τελώνου ἐνταῦθα δείκνυται, λέγων· οὐκ εἰμὶ ὡς οἱ λοιποὶ τῶν ἀνθρώπων, οὐδὲ ὡς οὗτος ὁ τελώνης. καὶ σκόπει πῶς ἤρξατο, ὡς περὶ θηρίου τινὸς δυσφορωτάτου ἀλεγεινόμενος, καὶ δεινοῦ κλέπτου τὴν μὴ σφόδρα ἐγκρατεύεσθαι. προσέχετε γάρ, φησι, τὴν ἐλεημοσύνην ὑμῶν. ὅτου καὶ ὁ Παῦλος λέγει Φιλιππησίοις· Βλέπετε τοὺς κύνας. καὶ γὰρ λῃστήρια ἐπεισέρχεται τὸ θηρίον, καὶ πόντια συμφυσᾷ ἀνοφορητὶ, καὶ δυσπαραθήτους ἐκφέρει τὰς ἔνδον ἀπάτας. ἐπεὶ οὖν πολλῶν περὶ τὴν ἐλεημοσύνης ἐποιήσατο λόγον, καὶ τὸν Θεὸν εἰς μέσον ἤγαγε, τὸν δυσταλλόντα τὸν ἥλιον ὅτι πονηρούς καὶ ἀγαθούς, καὶ πανταχόθεν προέτρεψεν εἰς τοῦτο, καὶ κομᾷν ἔπεισε τῇ δαψιλείᾳ τῆς χορηγίας, ἀνάγει λοιπὸν καὶ τὰ ἐνοχλοῦντα τῇ καλῇ ταύτῃ ἐλαίᾳ πόντια. διὸ φησι, προσέχετε τὴν ἐλεημοσύνην ὑμῶν μὴ ποιεῖν ἔμπροσθεν τῶν ἀνθρώπων. ἐκείνη γὰρ ἡ ἔμπροσθεν εἰρημένη, ἣν Θεὸς ὅστις ἐλεημοσυνῶν. καὶ εἶπων, μὴ ποιεῖν ἔμπροσθεν τῶν ἀνθρώπων, ἐπήγαγε, πρὸς τὸ θεαθῆναι αὐτοῖς. καὶ δοκεῖ μὲν προτέρων εἰρῆσθαι τοῦτο· δοῦ δὲ τις ἀκριβῶς προσέχῃ, ἴσως ἐστὶ τοῦτο αὐτὸ, ἀλλ' ἕτερον τόνῳ, καὶ ἕτερον σχήματι, καὶ πολλῷ ἔχει τὸ ἀσφαλέστερον καὶ ἄπονον τῆς κηδεμονίας ἕνεκα τῆς φειδοῦς. ἔστι γὰρ καὶ ἔμπροσθεν τῶν ἀνθρώπων ποιοῦντα, μὴ πρὸς τὸ θεαθῆναι ποιῆσαι· καὶ μὴ ποιοῦντα [πάλιν] ἔμπροσθεν, πρὸς τὸ θεαθῆναι ποιῆσαι. διόπερ οὐκ ἀπλοῦς τὸ γνώμιον, ἀλλὰ τῷ γνώμῳ κολάζει καὶ τὸ σφόδρα. εἰ γὰρ μὴ αὕτη ἡ ἀκρίβεια προσκεῖται, πολλοὶ διὰ τοῦτο ὑπερτέρους ἐποίησε πρὸς τὸ τῆς ἐλεημοσύνης δόσιν, διὰ τὸ μὴ πάντα χαλ-

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

πάντα χρὴ πάντως δυνατὸν εἶναι λανθανόντως ποιεῖν. διὰ τοῦτο ἀπολύων σε τῆς ἀνάγκης ταύτης, οὐ τὰ τέλη τῶν προσταγμάτων, ἀλλὰ τὴν προαίρεσιν τῶν ποιουμένων καὶ τὴν ζημίαν καὶ τὴν μισθαποδοσίαν. ἵνα γὰρ μὴ λέγῃς, τί γὰρ ἐγὼ πάθω, ἂν ἕτερος ἴδῃ; οὐ τοῦτο ζητῶ, φησίν, ἀλλὰ τὴν διάνοιαν τὴν σὴν, καὶ τὸ ἔσοπτρον τὸ νοητόν. τὴν γὰρ ψυχὴν ἅπασαν βάλλεται, καὶ πάντας ἀπαλλάξαι νοσημάτων. ἀπαγορεύσας τοίνυν τὸ προεῖδεῖν ποιεῖν, καὶ τὴν ἐκ τούτου ζημίαν διδάξας, τὸ μάτην καὶ εἰκῆ τοῦτο ποιεῖν, πάλιν αὐτὴν ἐκείρει τὰ φρονήματα, τὸ παῖξαι ἀναμνήσας καὶ τὸ ἄφρονος, ἵνα μὴ τῇ ζημίᾳ μόνῃ καθάψηται, ἀλλὰ καὶ τῇ μνήμῃ τοῦ γελωμένου ἐντρέπῃ.

Οὐκ ἔχετε γὰρ ὃν μισθόν, φησί, παρὰ τῷ πατρὶ ὑμῶν τῷ ἐν οὐρανοῖς. Καὶ οὐδὲ ἐν τούτοις ἔστι, ἀλλὰ καὶ περαιτέρω προέρχεται, καὶ δι' ἑτέρων πολλῶν τὴν ἀποστολὴν ἐργάζόμενος. ὥσπερ γὰρ αἰωτέρω τελώνας καὶ ἐθνικοὺς τέθεικε, τῇ ποιότητι τοῦ προσώπου καταισχύνων τοὺς μιμουμένους· οὕτω καὶ ἐνταῦθα τοὺς ὑποκριτάς.

2 Ὅταν οὖν ποιῇς, φησίν, ἐλεημοσύνην, μὴ σαλπίσῃς ἔμπροσθέν σου, ὥσπερ οἱ ὑποκριταί. Οὐχ ὅτι σαλπίσας εἶχον ἐκεῖνοι, τοῦτο λέγει, ἀλλὰ τὴν πολλὴν αὐτῶν ἐπιδεῖξαι βούλεται μανίαν, τῇ λέξει τῆς μεταφορᾶς ταύτης κωμῳδῶν καὶ σκώπτων αὐτούς. καὶ καλῶς ὑποκριτὰς εἶπε. τὸ μὲν γὰρ προσωπεῖον, ἐλεημοσύνης ἐστὶ· ἡ δὲ διάνοια, ὠμότητος καὶ ἀπανθρωπίας. οὐ γὰρ ἵνα δόξῃ τοῖς πολλοῖς ποιοῦσιν, ἀλλὰ διὰ τὸ δόξης ἀπολαύειν ἀδίκως· ὅπερ ἑκάστης ἐστὶ ὠμότητος, ἑτέρου λιμῷ διαφθειρομένου φιλοτιμίαν ζητοῦν, καὶ μὴ λύειν τὴν συμφοράν. οὐκ ἄρα τὸ δοῦναι ἐλεημοσύνη, ἀλλὰ τὸ, ὡς χρή, δοῦναι ἐστὶ τὸ ζητούμενον, καὶ διὰ τοῦτο δοῦναι. κωμῳδήσας τοίνυν αὐτοὺς ἱκανῶς, καὶ καθάπαξ αὐτῶν, ὡς καὶ αἴσχιον θῆται τοῖς ἀκροατὴν, διορθοῦται πάλιν τὴν τοιαύτην νόσον γνώμην, καὶ εἰπὼν πῶς δεῖ μὴ ποιεῖν, δείκνυσι πάλιν πῶς δεῖ ποιεῖν. πῶς οὖν δεῖ ποιεῖν;

3 Μὴ γνώτω, φησίν, ἡ ἀριστερά σου, τί ποιεῖ ἡ δεξιά σου. Πάλιν ἐνταῦθα ὑπερβολικῶς αὐτὸ τέθεικεν. Εἰ γὰρ οἷόν τε ἦν, φησι, καὶ σαυτὸν ἀγνοῆσαι, πρὸ πολλοῦ ἂν ἐποίησεν· νῦν δὲ ἀδύνατον ἢ τὰ διαφεύγουσας χεῖρας λαθεῖν· οὐχ ὡς τινές φασιν, ὅτι δεῖ σκαιοὺς ὄντας κρύπτειν τὰ θεάματα. πόθεν γὰρ ἐνταῦθα λαμβάνειν ἐκέλευσεν. Εἶτα καὶ ὁ μισθὸς σύνεσιν ὅσος. ὅπου γὰρ εἶπε τὰ ἐκεῖθεν κόλασιν, δείκνυσι καὶ τὰ ἐντεῦθεν τιμάς, ἑκατέρωθεν ἀμφοτέρους ὠθῶν καὶ εἰς ὕψος ἀγαθῶν διδάγματα. καὶ γὰρ πείθει εἰδέναι, ὅτι πάντα χρὴ πρᾶττειν ὁ Θεός, καὶ ὅτι οὐ μέτρει τοῦ παρόντος βίου ἔσχε τὰ ἡμέτερα, ἀλλὰ καὶ φοβερώτερον ἡμᾶς ἐντεῦθεν ἐκδέξεται δικαστήριον, καὶ οἱ τῶν πεπραγμένων οὐθενὸς ἀπόρρητοι καὶ τιμαὶ καὶ κολάσεις, καὶ ὅτι οὐδὲν, οὐ μικρὸν, οὐ μέγα ἡμῖν πρᾶξαι, κἂν δόξῃ σοὶ λανθάνειν. ταῦτα γὰρ ἅπαντα ἠνίξατο εἰπών,

4 Ὁ πατήρ σου ὁ βλέπων ἐν τῷ κρυπτῷ, ἀποδώσει σοι ἐν τῷ φανερῷ· Μέγα δὲ σεμνὸν αὐτῷ καθίζων θέατρον, καὶ ὅπερ ὑπεθυμεῖ, τοῦτο μὴ πολλῆς αὐτῷ δίδοὺς τῆς προσουσίας. Τί γὰρ βούλει, φησίν; οὐχὶ θεατὰς ἔχειν τῶν γινομένων ἡμᾶς; ἰδοὺ τοίνυν ἔχεις, οὐχὶ ἀγγέλους καὶ ἀρχαγγέλους, ἀλλὰ τὸν τῶν ὅλων Θεόν. Εἰ δὲ καὶ δι' ἀνθρώπους ἐπιθυμεῖς ἔχειν θεωροὺς, οὐδὲ ταύτης σε ἀποστερῶ τῆς ἐπιθυμίας χαίρων τῷ προσόντι, ἀλλὰ καὶ μὴ πλείονός σοι αὐτὸ παρέχει τῆς ὑποκρίσεως. νῦν μὲν γὰρ διὰ ἐπιδείξῃ, δέκα καὶ εἴκοσιν, ἢ καὶ ἑκατὸν διανθρώπους ἐπιδείξασθαι δυνήσῃ μόνους· διὰ δὲ ταπεινώσῃς νῦν λανθάνων, τότε σε αὐτὸς ὁ Θεὸς ἀνακηρύξει, τῆς οἰκουμένης πάσης ἀκούσης. ὥστε μάλιστα, εἰ βούλει ἀνθρώπους ἰδεῖν σου τὰ κατορθώματα, κρύπτων αὐτὰ νῦν, ἵνα μὴ πλείονος ἡμῖν τότε αὐτὰ πάντες θεάσωνται, τοῦ Θεοῦ φανερῶ ποιοῦντος καὶ ἐπαίροντος καὶ διὰ πᾶσιν ἀνακηρύττοντος. νῦν

μὲν

μὴ γὰρ σε ἡ καταγνώσονται ⓐ ὁρῶντες, ὡς κενοδόξως φανούμενον ἢ ἰδόντες, οὐ μόνον δὲ καταγνώσονται, ἀλλὰ καὶ θαυμάσονται ἅπαντες. ὅταν οὖν καὶ μισθὸν ᾖ λαβεῖν, καὶ θαῦμα καρπώσασθαι μεῖζον, ὀλίγην ἀναμείναντα χρόνον, ἐννόησον ἡλίκης ἀνοίας ἐστὶν ἀμφοτέρων ἐκπεσεῖν τούτων, καὶ παρὰ τοῦ Θεοῦ ⓦ μισθὸν αἰτιώσασθαι, καὶ τοῦ Θεοῦ ὁρῶντος, τοῦ δὲ ἀνθρώπους καλῶς τοῦτο ἐπιδεῖξαι τὴν γνώμην. Εἰ γὰρ ἐπιδείκνυσθαι δεῖ, ᾧ πατὴρ παρὰ πάντων ἐπιδείκνυσθαι χρή· καὶ μάλιστα, ὅταν καὶ τοῦτο σφόδρα καὶ τοῦ ζημιῶσαι κύριος ὁ πατὴρ ᾖ. καίτοι εἰ καὶ ζημίαν μὴ ἔχῃ, οὐκ ἔδει τὸ θέατρον τοῦτο ἀφιέναι, ἀνταλλάξασθαι δὲ τῷ ἀνθρώπων, ⓦ τῆς δόξης ἐπιθυμοῦντα. Ὡς γὰρ οὗτος ἀθλιος, ὡς τοῦ βασιλέως ἀπεύδοντος ἐπὶ τῷ θεωρεῖν τὴν αὐτοῦ καταρθώματα ἐλθεῖν, οὐκ ἂν μὴ ἀφίκετο, ἀπὸ δὲ τοσούτων θεωρῶν καὶ τῶν παρόντων καθίζειν αὐτοῦ τὸ θέατρον; Ἀλλὰ δὴ τοῦτο, οὐχὶ μόνον οὐκ ἐπιδείκνυσθαι κελεύει, ἀλλὰ καὶ ἀπουδάζειν λανθάνειν. οὐδὲν γάρ ἐστιν ἴσον, μὴ ἀπουδάσαι φανῆναι, καὶ ἀπουδάσαι λαθεῖν.

5 Καὶ ὅταν προσεύχησθε, φησὶν, οὐκ ἔσεσθε ὥσπερ ⓐ ὑποκριταί· ὅτι φιλοῦσιν ἐν ταῖς συναγωγαῖς καὶ ἐν ταῖς γωνίαις τῶν πλατειῶν ἑστῶτες προσεύχεσθαι, ὅπως δοξασθῶσι τοῖς ἀνθρώποις. ἀμὴν λέγω ὑμῖν, * ἀπέχουσι ⓦ μισθὸν αὐτῶν.

6 Σὺ δέ, ὅταν προσεύχῃ, εἴσελθε εἰς τὸ ταμιεῖόν σου, καὶ κλείσας τὴν θύραν σου, προσευξαι τῷ πατρί σου τῷ ἐν τῷ κρυπτῷ.

Πάλιν καὶ τούτους ὑποκριτὰς καλεῖ· ὑπὲρ μάλα εἰκότως, ὅτι Θεῷ προσαπιούμενοι προσεύχεσθαι, ἀνθρώποις προσίστασθαι ποιοῦσιν, οὐχ ἑκατὸν προσελεύσεσθαι ἄγμα, ἀλλ' ἀνθρώπων καταγελάστων. ὁ γὰρ μέλλων ἑκατὸν εἶναι, ἀπόντας ἀφεὶς, πρὸς ἕνα μόνον ὁρᾷ ⓦ κύριον ὄντα δοῦναι τὴν αἴτησιν. ἂν δὲ τοῦτον ἀφεὶς, προσέρχῃ πλανώμενος ὑπὸ πονηροῦ προσφέρων τοὺς ὀφθαλμοὺς, κενοῖς ἀπελεύσῃ χρεῖ. τοῦτο γὰρ αὐτὸς ἐβλήθης. διὰ τοῦτο οὐκ εἶπεν, ὅτι δὲ λήψονται μισθὸν ⓐ θιούτοι, ἀλλ' ὅτι ἀπέχουσι· τουτέστιν, ὅτι λήψονται μέν, παρ' ὧν ἂν ἐπιθυμοῦσιν αὐτοί. οὐ γὰρ ὁ Θεὸς τοῦτο βούλεται, ἀλλ' αὐτὸς μὲν τὸν παρ' ἑαυτοῦ προσέχειν ἠθέλησεν ἀμοιβὴν· ἐκείνους δὲ τὸν παρὰ τῶν ἀνθρώπων ζητοῦντας, οὐκέτ' ἂν εἶεν δίκαιοι λαβεῖν παρ' ἐκείνου, εἰ ὃν οὐδὲν πεποιήκασι. σὺ δέ μοι σκόπει τὸ Θεοῦ τὸν φιλάνθρωπον, ὅταν καὶ, ὡσανεὶ ὢν αὐτὸς παρ' ἡμῶν ἀγαθῶν, ἐπαγγέλληται μισθὸν προέξειν. Ἀμέλει τοίνυν τοὺς ὑποσκόπους ὧν προσάγματι χρωμένους, καὶ ἀπὸ τοῦ τόπου, καὶ ἀπὸ τῆς διαθέσεως, καὶ δείξας σφόδρα καταγελάστους ὄντας, εἰσάγει τὸ ἄμεινον τῆς προσευχῆς τρόπον, καὶ πάλιν τὸν μισθὸν δίδωσιν, εἰπών· Εἴσελθε εἰς τὸ ταμιεῖόν σου. Τί οὖν; ἐν ἐκκλησίᾳ, φησὶν, οὐ δεῖ προσεύχεσθαι; καὶ σφόδρα μὲν οὖν, ἀλλὰ μὴ γνώμης τοιαύτης. πονηροῦ γὰρ ὁ Θεὸς τὸν σκοπὸν ζητεῖ τῶν γινομένων· ἐπεὶ, κἂν εἰς τὸ ταμιεῖον εἰσέλθῃς, καὶ ἀποκλείσας προσεύχεσθαι ἀργάσῃ, οὐδέν σοι τῶν θυρῶν ὄφελος. ὅθεν ἐγὼ μὲν οἶμαι πᾶσι ἀκριβῆ τὸν διορισμὸν τεθεικέναι, εἰπών, ὅπως φανῶσι τοῖς ἀνθρώποις. ὥστε, κἂν τὰς θύρας ἀποκλείσῃς, τοῦτο μὲν τῆς τῶν θυρῶν ἀποκλείσεως κατορθῶσαί σε βούλεται, καὶ τὰς τῆς διανοίας ἀποκλείειν θύρας. κενοδοξίας γὰρ πονηροῦ μὲν ἀπηλλάχθαι καλὸν, μάλιστα δὲ ἐν εὐχῇ. Εἰ γὰρ καὶ τοῦτο χωρὶς πλανώμεθα καὶ ὠφεσόμεθα, ἀν καὶ ταύτῃ εἰσερχώμεθα τὴν νόσον ἔχοντες, ποτὲ ἀκουσόμεθα τῶν πρὸς ἡμᾶς λεγομένων; Εἰ δὲ ἡμεῖς ⓐ δεδιδυμοι καὶ παρὰ καλοῖς ὢν ἀκούομεν, πῶς τὸν Θεὸν ἀξιοῦμεν ἀκούειν; Ἀλλ' ὅμως εἰσί τινες, ⓐ μὴ τοιαῦτα καὶ τοσαῦτα παραγέλματα ὅτως ἀφημονοῦντες ἐν [τῇ] εὐχῇ, ὡς καὶ τοῦ σώματος κρυπτομένου διὰ τῆς φωνῆς πᾶσι καταδήλους ἑαυτοὺς ποιεῖν, συρφετωδῶς βοῶντες, καὶ τῷ σχήματι καὶ τῇ φωνῇ καταγελάστους ποιοῦντες ἑαυτούς. οὐχ ὁρᾷς ὅτι καὶ ἐν ἀγορᾷ, ἂν μὴ τοιαῦτα προσέλθῃ τις ποιῶν καὶ μὴ βοῶν ἱκετεύων, σοβήσει τὸν ἱκετεύοντα· ἂν δὲ ἡσυχῇ καὶ μὴ τοῦ προσήκοντος σχήματος, ὅτι ὅτι πᾶσαν μᾶλλον ⓦ δωσάμενον δοῦναι τὴν χάριν; μὴ τοίνυν τῷ σχήματι

σήματι τ̃ σώματος, μηδὲ τῇ κραυγῇ τῆς φωνῆς, ἀλλὰ τῇ προθυμίᾳ τῆς γνώμης ταύ-
ταις ποιώμεθα, μήτε μετὰ φόβου ἢ ὀχλήσεως ἢ προς ἐπίδειξιν, ὡς ἢ τοὺς πλησίον" ἐκκρούειν, 2
ἀλλὰ μετὰ ἐπιεικείας πάσης ἢ τῆς μετὰ ἡμίονον ζωτειδῆς ἢ δακρύων τῶν ἔνδοθεν. ἀλλ'
ἀλγεῖς τὴν ψυχήν, ἢ οὐκ ἀν δύναιο μὴ βοᾶν; ἢ μὴν τὸ σφόδρα ἀληθοῦτός ἐστι, ὃ οὕ-
τως θέλεσθε ἢ προσκαλῶ ὥσπερ εἶπον· ἐπεὶ ἢ Μωϋσῆς ἤλγει, ἢ ὅτως ἤυχετο, καὶ ἠκούετο. 5
Ἐξ. ιδ. ιε. Διὰ τοῦτο ἢ ἔλεγε πρὸς αὐτὸν ὁ Θεός· Τί βοᾷς πρὸς μέ; καὶ ἡ Ἄννα ἡ πάλιν, τῆς φωνῆς
α. Βασ. α. αὐτῆς οὐκ ἀκουομένης, πᾶσα ἐδύσωπεν ὅσα ἠθέλησεν, ὅπερ ἡ καρδία αὐτῆς ἔβοα. ὁ δὲ
Γεν. δ. ιδ. Ἀβελ οὐχὶ σιγῶν, ἀλλὰ ἢ τελευτῶν ἤυχετο, ἢ ὃ αἷμα αὐτοῦ σάλπιγγος λαμπροτέραν ἠ-
Ἰωὴλ β. ιγ. φίει φωνήν. σπάραξον οἶνον ἢ σὺ οὕτως ὡς ὁ ἅγιος σκῦλος· οὐ κωλύω· Διάῤῥηξον, ὡς ὁ
προφήτης σκέλυσε, τὴν καρδίαν σου, ἢ μὴ τὰ ἱμάτιά σου. σὺ βαθέων κάλεσον Ⓦ Θεόν. 10
Ψαλμ. ρκθ. κ. Ἐκ βαθέων γάρ, φησιν, ἐκέκραξά σοι, Κύριε. κάτωθεν ἀπὸ τῆς καρδίας σου ἔλκυσον φω-
νήν, μυστήριον ποίησόν σου τὴν εὐχήν. οὐχ ὁρᾷς ὅτι ἢ ἐν τοῖς βασιλείοις θόρυβος σκηπτῶν
ἅπας, ἢ πολλὴ σφυροχόπου ἡ σιγή; καὶ σὺ οἶνον ὡς εἰς βασίλεια εἰσιών, οὐ τὰ ἐν τῇ γῇ,
ἀλλὰ τὰ πολλῷ φαιδροτέρα τούτων, τὰ ἐν τοῖς οὐρανοῖς, πολλῶν ὑπερδεικνυσι τὴν εὐχη-
μοσυνίαν. ἢ γὰρ ἢ ἀγγέλων εἷς συγχορευτὴς, ἢ ἀρχαγγέλων "κοινωνὸς," μετὰ τῶν στεφανίτ 15 χ
ἀδειν. σφόδρα ὄντως Ⓐ δῆμοι πολλῶν ὑπερδεικνυσιν τὴν εὐταξίαν, μετὰ πολλῆς τῆς φει- χ
δοῦς τὸ μυστικὸν σκῆνος μόνοι καὶ σοῦ ἱερεῖς ὕμνους ἀδοντες τοῦ βασιλέως τῶν ὅλων Θεῷ. τού-
τοις τοίνυν ἐγκαταμίξον σαυτὸν εὐχόμενος, ἢ Ⓦ μυστικὸν αὐτῶν ζήλωσον κόσμον. οὐδὲ
γὰρ δυσθέκτοις εὔχῃ, ἀλλὰ τῷ Θεῷ τῷ σφόδρα ῥᾴστῃ, τῷ ἢ μετὰ τῆς φωνῆς
ἀκούοντι, τῷ τὰ ἀπόῤῥητα τῆς ψυχῆς ὑπισχνουμένῳ. αὖ οὕτως εὔχῃ, πολλὴν ἀπολήψῃ 20
Ⓦ μισθόν.

Ὁ πατὴρ γάρ σου, φησιν, ὁ βλέπων ἐν τῷ κρυπτῷ, ἀποδώσει σοι ἐν Ⓒ φανερῷ.

Οὐκ εἶπε, χρεωστεῖται σοι, ἀλλ' ἀποδώσει σοι. ζ΄. ἢ γὰρ χρεώστην ἑαυτὸν σοι κατέστησε, καὶ
μεγάλη σε ἢ ἐντεῦθεν ἐπήρκεσε ῥοπή. ὅπερ γὰρ αὐτός ἐστιν ἀόρατος, ἢ τὴν εὐχήν σου ζητεῖ
οὕτως εἰ βούλεται. Εἶπα λέγω ἢ τὰ ῥήματα αὐτὰ τῆς εὐχῆς. 25

7 Μὴ περισσολόγοι γάρ, φησι, μὴ βαττολογῆτε, ὥσπερ Ⓐ ἐθνικοὶ ποιοῦσιν.

Ὅτε μὲν γὰρ περὶ τῆς ἐλεημοσύνης διελέγετο, τὴν ἀπὸ τῆς κενοδοξίας λύμην ἀπέτεμνε
μόνον, ἢ οὐδὲν πλέον προσέθηκεν, οὐδὲ εἶπε πόθεν ἐλεημοσυνῶν δεῖ ποιεῖν, οἷ ἀπὸ δι-
καίων πόνων, ἀλλὰ μὴ ὅθεν ἁρπαγῆς, μηδὲ ἀπὸ πλεονεξίας· ἢ γὰρ σφόδρα ἦν ὁμολογη-
μένον πᾶσι. ἢ ἐνταῦθα τί διεκάθαρεν; ὅτε οὐ πενῶντας ἢ διψῶντας 30
τὴν δικαιοσύνην ἐμακάρισεν. ὅπερ ἦν τῆς δυνάμεως ἢ ἕτερόν τι προσθῆναι πλέον, ὃ μὴ βατ-
τολογεῖν. ἢ ὥσπερ σκῆψιν οὐ ὑποκρίσεως, ὅτως ἐνταῦθα οὐ ἐθνικοὺς κωμῳδεῖ, πάντα χοῦ
τῇ τῶν προσώπων διτελείᾳ μάλιστα ἐντρέπων Ⓦ ἀκροώμενον. ὅπερ γὰρ ὡς τὰ πολλὰ
τοῦτο μάλιστα διάκρινει καὶ καθαίρεται, ὃ δοκεῖν ἀπειρημένοις δὴ θέσποις ὁμοιοῦ-
σθαι, ἐντεῦθεν αὐτοὺς ἀποτρέπει, βαττολογίαν ἐνταῦθα τὴν φλυαρίαν λέγων· οἷ ὅταν 35
τὰ μὴ προσήκοντα αἰτῶμεν παρὰ τοῦ Θεοῦ, δυναστείας καὶ δόξης, ἢ ὃ τῶν ἐμπόρων πλεονε-
νέσθαι, ἢ χρημάτων περιουσίας, ἢ ἁπλῶς τὰ μηδὲν ἡμῖν συμφέροντα. οἶδε γάρ, φησιν,
ὧν χρείαν ἔχετε. μετὰ ὀλίγων δοκεῖ μοι κελεύειν ἐνταῦθα μηδὲ μακρὰς ποιεῖσθαι τὰς
εὐχάς· μακρὰς ὀλίγα τῷ χρόνῳ, ἀλλὰ τῷ πλήθει ἢ μήκει τῶν λεγομένων. παραπλήσιον
Ρω. ιβ. ιβ. μὲν γὰρ ἐστὶ τὰ αὐτὰ αἰτεῖσθαι. Τῇ γὰρ εὐχῇ, φησι, προσκαρτεροῦντες. ἢ αὐτὸς ὀλίγα 40
τοῦ παραδείγματος ἐκείνου τοῦ κατὰ τὴν χήραν, ἣ τὸν ἀνελεῆ ἢ ὠμὸν ἐπέκαμψεν ἀρῆναι τῇ
συνεχείᾳ τῆς ἐντεύξεως, ἢ τοῦ κατ' οἶκον φίλον τὸν ἀωρὶ τῶν νυκτῶν παραγινόμενον ἢ τὸν κα-
θεύδοντα ἀπὸ τῆς κλίνης ἀναστήσαντα ὀλίγα τὴν φιλίαν ἀλλὰ ὀλίγα τὸν προσῤῥίζον, ὀ-
δὲν ἕτερον ἢ τὸ συνεχῶς ἐντυγχάνειν αὐτῷ ἀπάσας ἐνομοθέτησεν, ὀλίγων μειζόνων τίχων

εὐχὴν

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

εὐχὴν συνθέντας αὐτῷ προσιέναι καὶ ἀπαγγέλλειν ἁπλῶς κελεύει. τοῦτο γὰρ ἠνίξατο εἰπών·

Δοκοῦσι γὰρ ὅτι ἐν τῇ πολυλογίᾳ αὐτῶν εἰσακουσθήσονται·

8 Μὴ οὖν ὁμοιωθῆτε αὐτοῖς· οἶδε γὰρ ὁ πατὴρ ὑμῶν ὧν χρείαν ἔχετε, πρὸ τοῦ ὑμᾶς αἰτῆσαι αὐτόν. Καὶ εἰ οἶδε, φησιν, ὧν χρείαν ἔχομεν, τίνος ἕνεκεν εὔχεσθαι δεῖ; οὐχ ἵνα διδάξῃς, ἀλλ' ἵνα ἐπικάμψῃς, ἵνα οἰκειωθῇς τῇ συνεχείᾳ τῆς ἐντεύξεως, ἵνα ταπεινωθῇς, ἵνα ἀναμνησθῇς τῶν ἁμαρτημάτων τῶν σῶν.

9 Οὕτως οὖν προσεύχεσθε ὑμεῖς, φησι· πάτερ ἡμῶν ὁ ἐν τοῖς οὐρανοῖς.

Ὅρα πῶς εὐθέως ἀνέστησε τὸν ἀκροατὴν, καὶ πάσης ἀνέμνησε τῆς εὐεργεσίας ἐν προοιμίοις. ὁ γὰρ πατέρα εἰπὼν τὸν Θεὸν, καὶ ἁμαρτημάτων ἄφεσιν, καὶ κολάσεως ἀναίρεσιν, καὶ δικαιοσύνην, καὶ ἁγιασμὸν, καὶ ἀπολύτρωσιν, καὶ υἱοθεσίαν, καὶ κληρονομίαν, καὶ ἀδελφότητα τὴν πρὸς τὸν μονογενῆ, καὶ πνεύματος χορηγίαν διὰ τῆς μιᾶς ταύτης ὡμολόγησε προσηγορίας. οὐδὲ γὰρ δυνατὸν καλέσαι πατέρα τὸν Θεὸν, μὴ πάντων ἐκείνων ἐπιτυχόντα τῶν ἀγαθῶν. διπλῇ τοίνυν αὐτῶν διεγείρει τὸ φρόνημα, καὶ τῷ ἀξιώματι τοῦ καλουμένου, καὶ τῷ μεγέθει τῶν εὐεργετημάτων ὧν ἀπήλαυσαν. τὸ δὲ, ἐν τοῖς οὐρανοῖς, ὅταν εἴπῃ, οὐκ ἐκεῖ τὸν Θεὸν συγκλείων τοῦτό φησιν· ἀλλὰ τῆς γῆς ἀπάγων τὸν εὐχόμενον, καὶ τοῖς ὑψηλοῖς προσηλῶν χωρίοις καὶ ταῖς ἄνω διατριβαῖς. παιδεύει δὲ καὶ κοινὴν ὑπὲρ τῶν ἀδελφῶν ποιεῖσθαι τὴν εὐχήν. οὐ γὰρ λέγει, ὁ πατήρ μου ὁ ἐν τοῖς οὐρανοῖς· ἀλλ' ὁ πατὴρ ἡμῶν, ὑπὲρ τοῦ κοινοῦ σώματος τὰς δεήσεις ἀναφέρων, καὶ οὐδαμοῦ σκοπῶν τὸ ἑαυτοῦ, ἀλλὰ πανταχοῦ τὸ τοῦ πλησίον. ἀπὸ δὲ τούτου καὶ ἔχθραν ἀναιρεῖ, καὶ ἀπόνοιαν καταστέλλει, καὶ βασκανίαν ἐκβάλλει, καὶ τὴν μητέρα τῶν ἀγαθῶν ἁπάντων τὴν ἀγάπην εἰσάγει, καὶ τὴν ἀνωμαλίαν τῶν ἀνθρωπίνων ἐξορίζει πραγμάτων, καὶ πολλὴν δείκνυσι τῷ βασιλεῖ πρὸς τὸν πτωχὸν τὴν ὁμοτιμίαν, εἴγε ἐν τοῖς μεγίστοις καὶ ἀναγκαιοτάτοις κοινωνοῦμεν ἅπαντες. τί γὰρ βλάβος ἐκ τῆς κάτω συγγενείας, ὅταν κατὰ τὴν ἄνω ἅπαντες ὦμεν συνημμένοι, καὶ μηδεὶς ἑτέρου πλέον ἔχῃ μηδὲν, μήτε ὁ πλούσιος τοῦ πένητος, μήτε ὁ δεσπότης τοῦ δούλου, μήτε ὁ ἄρχων τοῦ ἀρχομένου, μήτε ὁ βασιλεὺς τοῦ στρατιώτου, μήτε ὁ φιλόσοφος τοῦ βαρβάρου, μήτε ὁ σοφὸς τοῦ ἰδιώτου; πᾶσι γὰρ μίαν ἐχαρίσατο εὐγένειαν, πάντων ὁμοίως κληθῆναι καταξιώσας πατήρ. ἀναμνήσας τοίνυν τῆς εὐγενείας ταύτης καὶ τῆς ἄνωθεν δωρεᾶς, καὶ τῆς πρὸς τοὺς ἀδελφοὺς ὁμοτιμίας καὶ τῆς ἀγάπης, καὶ τῆς γῆς ἀποστήσας, καὶ τοῖς οὐρανοῖς προσηλώσας, ἴδωμεν τί κελεύει λοιπὸν αἰτεῖν. μάλιστα μὲν γὰρ καὶ αὐτὴ ἡ λέξις ἱκανὴ πάσης ἀρετῆς διδασκαλίαν ἐνθεῖναι. ὁ γὰρ πατέρα καλέσας τὸν Θεὸν, καὶ πατέρα κοινὸν, δίκαιος ἂν εἴη τοιαύτην ἐπιδείκνυσθαι πολιτείαν, ὡς μὴ τῆς εὐγενείας ταύτης ἀνάξιος φανῆναι, καὶ ἴσην τῇ δωρεᾷ παρέχεσθαι τὴν σπουδήν. πλὴν ἀλλ' οὐκ ἀρκεῖται τούτῳ, ἀλλὰ καὶ ἑτέραν προστίθησιν, οὕτω λέγων·

Ἁγιασθήτω τὸ ὄνομά σου. Ἀξία τοῦ τὸν Θεὸν παρακαλοῦντος ἡ εὐχὴ, τὸ μηδὲν αἰτεῖν πρὸ τῆς τοῦ πατρὸς δόξης, ἀλλὰ πάντα δεύτερα ἡγεῖσθαι τῆς εἰς ἐκεῖνον εὐφημίας. τὸ γὰρ ἁγιασθήτω, τοῦτό ἐστι, δοξασθήτω. τὴν μὲν γὰρ οἰκείαν ἔχει δόξαν πεπληρωμένην, καὶ ὡσαύτως ἀεὶ μένουσαν· ἀξιοῦν δὲ κελεύει τὸν εὐχόμενον καὶ διὰ τῆς ἡμετέρας αὐτὸν δοξάζεσθαι ζωῆς. ὅπερ καὶ ἔμπροσθεν ἔλεγε· λαμψάτω τὸ φῶς ὑμῶν ἔμπροσθεν τῶν ἀνθρώπων, ὅπως ἴδωσι τὰ καλὰ ὑμῶν ἔργα, καὶ δοξάσωσι τὸν πατέρα ὑμῶν τὸν ἐν τοῖς οὐρανοῖς. καὶ γὰρ τὰ σεραφὶμ δοξάζοντα οὕτως ἔλεγον· Ἅγιος, ἅγιος, ἅγιος· ὥστε τὸ, ἁγιασθήτω, τοῦτό ἐστι, δοξασθήτω. καταξίωσον γὰρ, φησιν, οὕτως ἡμᾶς βιοῦν καθαρῶς, ὡς δι' ἡμῶν ἅπαντάς σε δοξάζειν. ὅπερ πάλιν ἀπηρτισμένης ἐστὶ φιλοσοφίας, τὸ οὕτω βίον ἄληπτον παρέχεσθαι ἐν πᾶσιν, ὡς ἕκαστον τῶν ὁρώντων τῷ δεσπότῃ τὴν ὑπὲρ τούτων ἀναφέρειν εὐφημίαν.

Margin notes (left): χ. ἐγ. — γρ. συν. — ὅθεν — γρ. τὴν — γρ. συγγένειαν, — γρ. οὐρανίοις — γρ. συγγενείας
Margin note (right): Ησ. ϛ. γ.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

10 Ελθέτω ἡ βασιλεία σου. Καὶ τοῦτο πάλιν παιδὸς εὐγνώμονος τὸ ῥῆμα, τὸ μὴ προσπλῶσθαι τοῖς ὁρωμένοις, μηδὲ μέγα φρονεῖν τὰ παρόντα ἡγεῖσθαι, ἀλλ' ἐπείγεσθαι πρὸς τὸν πατέρα, καὶ τῶν μελλόντων ἐφίεσθαι· ὅπερ ἀπὸ ζωώδους ἀγαθοῦ ἔχεται, καὶ ψυχῆς ἀπηλλαγμένης τὸν ἐν τῇ γῇ πρόσφορον. τοῦτο γοῦν καὶ ὁ Παῦλος καθ' ἑκάστην ἐπεθύμει τὴν ἡμέραν. Διὰ τοῦτο καὶ ἔλεγεν· Οτι καὶ αὐτοὶ τὴν ἀπαρχὴν τοῦ πνεύματος ἔχοντες στενάζομεν, υἱοθεσίαν ἀπεκδεχόμενοι, τὴν ἀπολύτρωσιν τοῦ σώματος ἡμῶν. ὁ γὰρ τοῦτον ἔχων ἐρωτᾷ, οὔτε ὑπὸ τῶν χρηστῶν τοῦ βίου τούτου δύναται φυσιωθῆναι, οὔτε ὑπὸ τῶν λυπηρῶν ταπεινωθῆναι· ἀλλ' ὡς ἐν αὐλαῖς διατελοῦσιν τοῖς οὐρανοῖς, ἑκατέρας ἀπήλλακται τῆς ἀνωμαλίας. Ρω. η. κγ.

Γενηθήτω τὸ θέλημά σου, ὡς ἐν οὐρανῷ, καὶ ἐπὶ τῆς γῆς. Εἶδες ἀκηλιθίαν ἀείζωον; ἐπιθυμεῖν μὲν γὰρ ἐκέλευσε τῶν μαθητῶν, καὶ πρὸς ἐκεῖνον ἐπείγεσθαι τὸν "ἀποδημήσαντα ἕως ἂν οὗ τοῦτο μὴ γένηται), καὶ ἐνταῦθα διατρίβοντας πρέπειν ἀναστρέφεσθαι τοῖς ἄνω πολιτεύμασιν ἐπιδεικνυσθαι. ἐπιθυμεῖν μὲν γὰρ δεῖ τῶν οὐρανῶν, φησι, καὶ τῶν ἐν τοῖς οὐρανοῖς· πλὴν καὶ περὶ τοῦ γῆινου τὸν γῆινον ἐκέλευσε ποιῆσαι, καὶ ἐν αὐτῇ διατρίβοντας, ὡς ἐκεῖ πολιτευομένους, οὕτω πάντα ποιεῖν καὶ λέγειν, ὡς καὶ ἐκεῖθεν προσδοκᾶν τὸν δεσπότην. οὐδὲν γὰρ οὕτω κωλύον φθάσαι τὴν τῶν ἄνω δωρεὰν μένοντας ἀκρίβειαν ἐπὶ τὸν γῆινον οἰκεῖν· ἀλλ' ἐνταῦθα διατρίβοντα, ὡς ἄνω πολιτευόμενον ἤδη, πάντα ποιεῖν. ὁ λέγει τοίνυν, "τοιοῦτόν ἐστιν· ὥσπερ ἐκεῖ πάντα ἀκωλύτως ἔχει, καὶ οὐ κωλύσουσιν οἱ ἄγγελοι, οὐδ' ὁ διάβολος ἐνταῦθα, ἀλλὰ πάντα ἐπίσης εἰκότως ἂν πράττοιτο· οὕτω καὶ ἡμᾶς καταξίωσον τοῦ ἀθανάτου μὴ ἐξ ἡμισείας τὸ θέλημά σου ποιεῖν, ἀλλὰ πάντα, καθάπερ θέλεις, πληροῦν. Εἶδες πῶς καὶ μετεωρίζειν ἐδίδαξε, δηλώσας ὅτι οὐ τῆς ἡμετέρας ἀσυδησίας ἡ ἀρετὴ μόνον, ἀλλὰ καὶ τῆς ἄνωθεν χάριτος; καὶ πάλιν τὸν ὑπὲρ τῆς οἰκουμένης πρεσβείαν ἑκάστην ἡμῶν τῶν προσευχομένων ἀναδέχεται ἐπέταξεν. οὐδὲ γὰρ εἶπε, γενηθήτω τὸ θέλημά σου ἐν ἐμοὶ, ἢ ἐν ἡμῖν· ἀλλὰ πανταχοῦ τῆς γῆς, ὥστε λυθῆναι τὴν πλάνην, καὶ φυτευθῆναι τὴν ἀληθειαν, καὶ σκληθῆναι κακίαν ἅπασαν, καὶ ἐπανελθεῖν ἀρετὴν, ἃ μηδὲν ταύτῃ διαφέρει λοιπὸν οὐρανὸν τῆς γῆς. Εἰ γὰρ τοῦτο γένοιτο, φησιν, οὐδὲν διοίσει τὰ κάτω τῶν ἄνω, εἰ καὶ τῇ φύσει διέστηκεν, ἀγγέλους ἑτέρους τῆς γῆς ἡμῖν ἐπιδεικνυμένης.

11 Τὸν ἄρτον ἡμῶν τὸν ἐπιούσιον δὸς ἡμῖν σήμερον. Τί ἐστι, τὸν ἄρτον τὸν ἐπιούσιον; τὸν ἐφήμερον. ἐπεὶ γὰρ εἶπεν, ὥστε γενηθήτω τὸ θέλημά σου, ὡς ἐν οὐρανῷ, καὶ ἐπὶ τῆς γῆς, ἀνθρώπους ὄντας διελέγετο σάρκα περικειμένους, καὶ ἀνάγκη φύσεως ὑποκειμένους, καὶ οὐ δυναμένους τὸν αὐτὸν ἔχειν ἀπάθειαν τοῖς ἀγγέλοις· διὰ μὲν ἐπιτάγματος ὁμοίως κελεύει γίνεσθαι καὶ παρ' ἡμῶν, καθάπερ αὐτοὶ καὶ ἐκεῖνοι πληροῦσι· συγκαταβαίνει δὲ τῇ τῆς φύσεως ἀσθενείᾳ λοιπόν. ἀκρίβειαν μὲν γὰρ, φησι, πολιτείας ἀπαιτῶ τοσαύτην, οὐ μὴν ἀπάθειαν. οὐδὲ γὰρ ἐπιτρέπει τῆς φύσεως ἡ τυραννίς. δεῖται γὰρ τροφῆς τῆς ἀναγκαίας. σὺ δέ μοι σκόπει πῶς ἐν τοῖς σωματικοῖς πολὺ τὸ πνευματικόν. οὐδὲ γὰρ χρημάτων, οὐδὲ γὰρ τυφῆς, οὐδὲ γὰρ πολυτελείας ἱματίων, οὐδὲ γὰρ ἄλλου οὐδενὸς τῶν τοιούτων· ἀλλὰ γὰρ ἄρτου μόνον ἐκέλευσε τὴν δέησιν ποιεῖσθαι, καὶ γὰρ ἄρτου τοῦ ἐφημέρου, ὥστε μὴ γὰρ τῆς αὔριον μεριμνᾶν. διὰ τοῦτο προσέθηκε, τὸν ἄρτον τὸν ἐπιούσιον, τουτέστι, τὸν ἐφήμερον· καὶ οὐδὲ τοῦτο ἠρκέσθη τῷ ῥήματι, ἀλλὰ καὶ ἕτερον μεῖζον τοῦτο προσέθηκεν, εἰπών, δὸς ἡμῖν σήμερον· ὥστε μὴ περαιτέρω συντείνειν ἑαυτοὺς τῇ φροντίδι τῆς ἐπιούσης ἡμέρας. ἧς γὰρ οἶδας εἰ ὁ διάβιος ἔσται, τίνος ἕνεκεν ὑποπτεύεις τὴν μέριμναν; τοῦτο καὶ προϊὼν διὰ πλειόνων ἐπέταξε, λέγων· μὴ μεριμνήσητε εἰς τὴν αὔριον. καὶ γὰρ βουλεται πάντοθεν ἡμᾶς ἀζώνους εἶναι καὶ ἀπερισπάστους, ὡσοῦτον εἰκότως τῇ φύσει, ὅσον ἡ τῆς χρεί-

ας

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ας ἀνάγκη πρὸ ἡμῶν ἁπαντᾶ. Εἶτα, ὅπερ συμβαίνει καὶ μὴ τὸ λυθῆναι τῆς παλιγγενεσίας ἁμαρτάνειν, πολλῷ καὶ ἐν ταύτῃ τῇ φιλανθρωπίᾳ αὐτοῦ ὑπιδεικνύμενος, κελεύει ἐκεῖ τῆς τῶν ἁμαρτημάτ[των] ἀφέσεως παρασπένδειν τῷ φιλανθρώπῳ Θεῷ, καὶ λέγειν ὅτως·

12 Ἄφες ἡμῖν τὰ ὀφειλήματα ἡμῶν, ὡς καὶ ἡμεῖς ἀφίεμεν τοῖς ὀφειλέταις ἡμῶν.

5 Εἶδες φιλανθρωπίας ὑπερβολήν; μὴ τοσούτων κακῶν ἀναίρεσιν καὶ δωρεᾶς μέγεθος ἄφατον, πάλιν ἁμαρτάνουσας ἀξιοῖ συγχωρεῖσθαι. ὅτι γὰρ πιστοῖς αὐτὴν ἡ παραβολὴ προσήκει, καὶ ὁ νόμοι τῆς ἐκκλησίας διδάσκουσι, καὶ τὸ πρόσφορον τῆς βίβλου. ὁ γὰρ ἀμύητος οὐκ ἂν δύναιτο πατέρα καλεῖν Θεόν. Εἰ τοίνυν πιστοῖς προσήκει ἡ βίβλος, βίβλον ὄντι ὅτοι ἁμαρτήματα ἑαυτοῖς ἀφεθῆναι δεόμενοι, δῆλον ὅτι οὐδὲ μὴ τὸ λυθῆναι ἀνήρηται τῆς μετανοίας τὸ

10 κέρδος. εἰ γὰρ μὴ τοῦτο ἐβούλετο δεῖξαι, οὐδ' ἂν τοῦτο ἐνομοθέτησεν ὁ βίβλος. ὁ δὲ ἁμαρτήματα δυσμνημόνευτον, καὶ κελεύων αὐτῶν ἄφεσιν, καὶ διδάσκων ὅπως ἂν ἐπιτύχωμεν τῆς ἀφέσεως, καὶ βίβλον ταύτῃ ποιῶν τινὰ ὁδόν, δῆλον ὅτι εἰδὼς καὶ δεικνύς, ὅτι καὶ μὴ τὸ λυθῆναι ἐστιν ἀπονίψασθαι τὰ πεπλημμεληκότα, τοῦτον τῆς ἱκετηρίας τὸν νόμον εἰσηύγασε· τὸν μὲν ὑπομνῆσαι τῶν ἁμαρτημάτων, μετανοίᾳ πείθων· τὸν δὲ ἑτέρωις ἀφεῖναι κελεύσας, μνησικα-

15 κίας ἀπάσης ἀπαλλάττων ἡμᾶς. ᾧ δὴ καὶ τοῦτον καὶ ἡμῖν ἐπαγγέλλεσθαι συγχωρεῖν, χρηστὰς ὑποτείνων ἐλπίδας, ἐπὶ τῇ ἀφάτῳ τοῦ Θεοῦ φιλανθρωπίᾳ φιλοσοφῶν ἡμᾶς παιδεύων. ὃ δὴ μάλιστα χρὴ προσκατηρῆσαι, τοῦτο ἐστιν· ὅτι καθ' ἕκαστον τῶν εἰρημένων ὁλοκλήρου μνημονεύσας τῆς ἐρετῆς, καὶ ταύτῃ δὲ τὸ μνησικακεῖν προειλοῦ (καὶ γὰρ ὁ ἀγαθὸς ναὸς ὄνομα αὐτοῦ, ἀπηρτισμένης ὅλης πολιτείας ἀκρίβεια· καὶ τὸ ἡμιθέων θέλημα αὐτοῦ,

20 ὃ δὴ τοῦτο πάλιν [δηλοῖ]· καὶ τὸ πατέρα δύνασθαι καλεῖν τὸν Θεόν, ἀμφήμυ πολιτείας ἀπόδειξίς ἐστιν· ἐν οἷς ἅπασι (φειλήπτου καὶ τὸ δεῖν ἀφίναι τοῖς πεπλημμεληκόσι τινὰ ὀργὴν) ἀλλ' ὅμως οὐκ ἠρκέσθη τούτοις, ἀλλὰ δεῖξαι βουλόμενος ὅσῳ μᾶλλον τὸ πρόσταγμα ποιεῖται τινὰ σπουδὴν, καὶ ἰδικῶς αὐτὸ ἐνέπησι, καὶ μὴ τινὰ βίβλου σοφίας ἄλλης ἐντολῆς μέμνηται ἢ ταύτης, οὕτω λέγων· ἐὰν γὰρ ἀφῆτε τοῖς ἀνθρώποις τὰ παραπτώματα αὐτῶν, ἀφήσει ὑ-

25 μῖν καὶ ὁ πατὴρ ὑμῶν ὁ οὐράνιος. ὥστε πρὸ ἡμῶν ἡ ἀρχή, καὶ κύριοι τῆς κρίσεως τῆς περὶ ἡμῶν ἡμεῖς. ἵνα γὰρ μηδὲ τῶν ἀναγκαίων μηδεὶς ἐγκαλεῖν ἔχῃ δικαζόμενος, μὴ μικρὰ, μὴ μέγα, σὲ (φησὶν) ἐπεύθυνον κύριον ποιεῖ τῆς ψήφου· καὶ ὡς δὴ αὐτὸς ἐδίκασας σαυτὸν, φησὶν, ὅτω σοι δικάζω κἀγώ. κἂν ἀφῇς τῷ συνδούλῳ, καὶ πρὸς ἐμοῦ τῆς αὐτῆς τεύξῃ χάριτος· καὶ τοιγε οὐκ ἴσον τοῦτο ἐπαίνῳ. σὺ μὲν γὰρ δεόμενος ἀφίης, ὁ δὲ Θεὸς

30 μηδενὸς χρείαν ἔχων· σὺ τῷ ὁμοδούλῳ, ὁ δὲ Θεὸς τῷ δούλῳ· σὺ μὲν ἐπιτίμιος ὢν μυρίοις κακοῖς, ὁ δὲ Θεὸς ἁμαρτήτος ὤν. ἀλλ' ὅμως καὶ ὅτω τινὶ αὐτοῦ φιλανθρωπίαν ἐνδεῖκνυται. ἠδυνάμην μὲν γὰρ καὶ χωρὶς τούτου πολλὰ σοι ἀφεῖναι τὰ πεπλημμεληκότα, ἀλλὰ βούλεταί σε καὶ ἐντεῦθεν ἐνεργετεῖσθαι, μισθὸς σοι πολυπλόκου πρόκειται ἡμερότητος καὶ φιλανθρωπίας ἀφορμὰς, καὶ ὃ ἐν σοὶ θηριώδες ἐκβάλλων, καὶ (φησὶν) ἡμερώτερόν σε συγκαλῶν τὰ μέλει τῷ Θεῷ. Ἡ γὰρ ἂν ἔχοις εἰπεῖν; ὅτι ἀδίκως ἐπαθές τι κακὸν παρὰ τοῦ πλησίον; ταῦτα γὰρ ὅσα τὰ ἁμαρτήματα· ὡς εἰ δικαίως, οὐδὲ ἁμάρτημα ὃ προσῆκεν ἦν. ἀλλὰ καὶ σὺ τοιούτων προσέρχῃ πληθύοντος ἄφεσιν, καὶ πολλῷ μείζονων. καὶ περὶ τῆς ἀφέσεως ἣν μικρῷς ἀπήλαυσας δωρεᾶς, διδασκόμενος δὲ θεοπρεπέστερον ἔχειν ψυχὴν, καὶ πᾶσαν παιδευόμενος ἡμερότητα, καὶ μὴ τούτων ἢ καὶ μαθὼς σοι μέγας κείσεται σκῶλος,

40 ὃ μηδενὸς ἁπαντᾶν δύνασθαι λόγον τῶν πεπλημμεληκότων. ποίας οὖν σὺ δὴ ἐπιπόθου κολάσεως ἄξιοι, οἵπερ τὸν ἐξουσίαν λαβόντες, παιδεύεσθαι ἡμῶν τὴν σωτηρίαν; πῶς ἂν τοῖς ἄλλοις παραδείγμασιν ἀξιώσομεν ἀκούεσθαι, αὐτοὶ μὴ θέλοντες, ἐν οἷς ἐσμὲν κύριοι, φείδεσθαι ἑαυτῶν;

13 Καὶ μὴ εἰσενέγκῃς ἡμᾶς εἰς πειρασμὸν, ἀλλὰ ῥῦσαι ἡμᾶς ἀπὸ τοῦ πονηροῦ· ὅτι σοῦ

ἐστιν

ὅστιν ἡ βασιλεία καὶ ἡ δυνάμις καὶ ἡ δόξα εἰς τοὺς αἰῶνας, ἀμήν.

Ἐνζώγα ἡμᾶς τὴν ἡμετέραν παιδεύει σαφῶς εὐτέλειαν, καὶ καταξέλλει τὸ φύσημα, διδάσκων" μήτε φιλονεικεῖσθαι τοὺς ἀγῶνας," μήτε μὴν ὑπίπτειν. ὅτω γὰρ καὶ ἡμῖν ἡ νίκη λαμπροτέρα ἔσαι, καὶ ἡ ἥττα τῆς διαβόλου καταπελαστοτέρα. ἐλκυσθέντας μὲν γὰρ δεῖ γενναίως ἐσάναι· μὴ καλουμένους δέ, ἡσυχάζειν καὶ τὴν κρείττονα δυναμένην τῶν ἀγώνων, ἵνα καὶ τὸ ἀκινδύνως καὶ τὸ γενναῖον ὑπιδείξωμεθα. πονηρὸν δὲ ἐντεῦθεν τὸ ἀφιλόνικον καλεῖ, κελεύων ἡμᾶς ἀσπονδον πρὸς αὐτὸν ἔχειν πόλεμον, καὶ δεικνὺς ὅτι οὐ φύσει τοιοῦτός ὅστιν. οὐ γὰρ τῶν ἐκ φύσεως, ἀλλὰ τῶν ἐκ προαιρέσεως ὑπιγμομένων ὅστιν ἡ πονηρία. κατ' ἔξοχὴν δὲ οὕτως ἐκφύσις καλεῖται, διὰ τὴν ὑπερβολὴν τῆς κακίας, καὶ ὅτι μηδὲν πρὸς ἡμᾶς ἀδικηθείς, ἀσπονδον πρὸς ἡμᾶς ἔχει πόλεμον. διὰ τοῦτο οὖν εἶπε, ῥῦσαι ἡμᾶς ἀπὸ τοῦ πονηροῦ, ἀλλ' ἀπὸ τοῦ πονηροῦ· παιδεύων ἡμᾶς" μηδαμοῦ πρὸς οὐδὲν πλησίον ἀνδρὸς ἔχειν, ἐν οἷς δὲ πάθωμεν πρὸς αὐτὸν κακῶς, ἀλλ' ἀπὸ τούτων πρὸς ἐκφυον μεταθεῖναι τὴν ἔχθραν, ὡς πολὺν αὐτὸν αἴτιον τῶν κακῶν ὄντα. ἀναγωνίους οἶνον ποιήσας τὴν μνήμην τοῦ ἐχθροῦ, καὶ τὴν ῥᾳθυμίαν ἡμῶν ἅπασαν ἐκκόψας, πάλιν θαῤῥύνει καὶ ἀνίστησι φρονήματα, τοῦ βασιλέως ἀναμνήσας ὑφ' ὧν καταπόμθα, καὶ δείξας πολὺν αὐτὸν ὄντα δυνατώτερον. σοῦ γὰρ ὅστί, φησιν, ἡ βασιλεία καὶ ἡ δύναμις καὶ ἡ δόξα. ἐκνοῶ εἰ αὐτοῦ ὅστιν ἡ βασιλεία, οὐδένα δεδοικέναι χρή· ἅτε οὐδενὸς ὄντος τοῦ ἀνθισαμένου, καὶ πρὸς αὐτὸν τὸν ἐχθρὸν ἀφνεμομένου. ὅταν γὰρ εἴπῃ· σοῦ ὅστιν ἡ βασιλεία, δείκνυσι καὶ ἐκφυον τὸν πολεμοῦντα ἡμῖν" ὑποτεταγμένον, καὶ ἀναπαύεσθαι δοκῇ τοῦ Θεοῦ συγχωροῦντος τέως. καὶ γὰρ καὶ αὐτὸς τῶν δούλων ὅστιν, εἰ καὶ τῶν ἠπιωμένων ἐστὶ προσκεκρουκότων. καὶ ἐκ ἀν τολμήσειεν οὐδενὶ τῶν ὁμοδούλων ὑπιδεῖσθαι, μὴ πρότερον ἀνῶσθαι τὴν ἐξουσίαν λαβών. ἐστὶ δὲ λέγω τῶν ὁμοδούλων; οὐδὲ χοίρων καταπολμῆσαι ἐκ ἐμεινεν, ἕως ὅτε αὐτὸς ἐπέτρεψεν, οὔτε ποιμνίων, οὔτε βουκολίων, ἕως ὅτε τὴν ἐξουσίαν ἀνῶσθεν ἔλαβε καὶ τὴν δύναμιν. ἐκνοῶ καὶ μυριάκις ἀθενὴς ἦς, δίκαιος ἂν εἶης, θαῤῥεῖν τοιοῦτον ἔχων βασιλεύοντα, πολὺν εὔκολον καὶ σοὶ καταρθοῦν δυνάμενον. καὶ ἡ δόξα εἰς τοὺς αἰῶνας, ἀμήν. οὐδὲ γὰρ" ἀπολαύσει σε τῶν ὑπιόντων δεινῶν μόνον, ἀλλὰ καὶ ἔνδοξον δύναται ποιῆν καὶ λαμπρόν. ὥσπερ γὰρ ἡ δύναμις αὐτοῦ πολλή, οὕτω καὶ ἡ δόξα ἄφατος, καὶ τὰ πολλὰ ἀπέραντα, καὶ τέλος αὐτῶν οὐδέν. εἶδες πῶς πολλαχόθεν ἥλει ἡμᾶς πρὸς ἀθλητὴν καὶ θαῤῥεῖν παρεσκεύασεν; εἶπα," ὥσπερ ἔφθην εἰπών, δεῖξαι βουλόμενος ὅτι πολλῶν μάλιστα μνησικακίαν ἀποστρέφεται καὶ μισεῖ, καὶ μάλιστα πολλῶν τὴν ἀνομίαν [τὴν κακίαν] ταύτην ἀποδέχεται ἀρετὴν, καὶ μὴ τὴν βύελον πάλιν αὐτοῦ τοῦ κατορθώματος ἐπέμνησε, καὶ ἀπὸ τῆς κειμένης κολάσεως, καὶ ἀπὸ τῆς ἑτοιμασθείσης ἡμῖν ἀκροατὴν ἀνάγων εἰς τὴν τῆς ἐντολῆς ταύτης ἐπανόρθωσιν.

14 Ἐὰν γὰρ ἀφῆτε, φησί, τοῖς ἀνθρώποις, καὶ ὁ πατὴρ ὑμῶν ὁ οὐράνιος ἀφήσει ὑμῖν·

15 Ἐὰν δὲ μὴ ἀφῆτε, οὐδὲ αὐτὸς ὑμῖν ἀφήσει.

Διὰ τοῦτο τῶν οὐρανῶν πάλιν καὶ τοῦ παρόντος ἐμνημόνευσεν, ὥστε καὶ τούτῳ ἀκροατὴν ἐντεῦξαι· εἴγε τοιούτοις παρὸν ὢν ἐκανθελοῦσι μέλλοι, καὶ πρὸς ἐκφυον κληθείς, γένοιτό τι καὶ βιωτικὸν ἔχει φρόνημα. οὐ γὰρ δὴ χαρίζεσθαι τοὺς παῖδας μόνον, ἀλλὰ καὶ τοῖς ἔργοις ὑδεῖν ὄντως ὁμοίους τῷ Θεῷ, ὡς τὸ τοῖς πονηροῖς καὶ τοῖς ἀδικοῦσιν εὖ συνδυωμονικόν· ὥσπερ οὖν καὶ ἔφθη διδάξας, "ἵνα γένησθε υἱοὶ τοῦ ἡλίου ἀνατέλλει τὸν πονηροὺς καὶ ἀγαθούς. διὰ δὴ τοῦτο καθ' ἑκάστην τῶν ῥημάτων κοινὰς κελεύει ποιῆν τὰς εὐχάς, πατὴρ ἡμῶν λέγων, καὶ γενηθήτω τὸ θέλημά σου, ὡς ἐν οὐρανῷ, καὶ ὅπι τῆς γῆς, καὶ δὸς ἡμῖν τὸν ἄρτον, καὶ ἄφες ἡμῖν τὰ ὀφειλήματα ἡμῶν, καὶ μὴ εἰσενέγκῃς ἡμᾶς εἰς πειρασμόν, καὶ ῥῦσαι ἡμᾶς, πολλαχοῦ τῷ πληθυντικῷ ῥήματι τούτῳ κελεύων κεχρῆσθαι, ἵνα μηδεὶς ἔχθος ὀργῆς πρὸς τὸν πλησίον ἔχῃ μνῆ.

Πόσης

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Πόσης οὖν δὴ εἶεν κολάσεως ἄξιοι οἱ μὴ ταῦτα πάντα μὴ μόνον αὐτοὶ μὴ ἀφέντες, ΠΟΙΚΟΝ ἀλλὰ καὶ τὸν θεὸν ὅτι πλεῖστα ἡμῶν τῶν ἐγκλημάτων ἀπολογούμενοι, καθάπερ ἐκ ψηφισμάτων νόμον τοῦτον ἀπολαύοντες καὶ ταῦτα αὐτοῖς πάντα ποιοῦντος καὶ παραμυθουμένου, ὥστε μὴ ψηφισασθαι ἡμᾶς τοῖς ἀλλήλοις; ὅπερ γὰρ ῥίζα πάντων τῶν ἀγαθῶν ἐστιν ἡ ἀγάπη, τὰ λυμαινόμενα αὐτοῖς ἀναιρεῖ, πάντοθεν ἡμᾶς τοὺς ἀλλήλους [ζωπυρεῖ] συγκολλᾷ. οὐ γάρ ἐστιν, οὐκ ἔστιν οὐδεὶς, κἂν πατὴρ ᾖ, κἂν μήτηρ, κἂν φίλος, κἂν ὁστισοῦν, ὃς οὕτως ἡμᾶς ἠγάπησεν, ὡς ὁ ποιήσας ἡμᾶς θεός. καὶ τοῦτο μάλιστα καὶ ἀφ' ὧν διέρχεται καθ' ἑκάστην ἡμέραν, καὶ ἀφ' ὧν ὑπομένει, δῆλον. Εἰ γὰρ λύπας μοι λέγεις καὶ τὰς ὀδύνας καὶ τοῦ βίου κακά, ἐννόησον ὅσα αὐτῷ τοσκευάζεις καθ' ἑκάστην ἡμέραν, καὶ οὐκ ἐπὶ θαυμάσῃ, κἂν πλείονα τούτων ἐπέλθῃ κακά· ἀλλ' ἂν ἀγαθοῦ τινος ἀπολαύσῃς, τότε καὶ θαυμάσῃ καὶ ἐκπλαγήσῃ. νῦν δὲ εἰς μὲν τὰς συμφορὰς ὁρῶμεν τὰς ὑπούσας καὶ τὰ τοῦ βίου κακά· τὰ δὲ προσκρούσματα, ἃ καθ' ἑκάστην προσκρούομεν τῇ ἡμέρᾳ, οὐκ ἐννοοῦμεν· διὰ τοῦτο ἀλυόμεν. ὡς εἶγε μᾶς ἡμέρας μόνον μὴ ἀκριβείας τὰ ἁμαρτήματα ἡμῶν ἐλογισάμεθα, πότε ἂν ἐγνωμεν καλῶς πόσων ἂν εἰήμεν ὑπεύθυνοι κακῶν. καὶ ἵνα τὰ ἄλλα ἀφεὶς τὰ ἰδίᾳ πεπλημμεληκότα ἑκάστῳ, τὰ σήμερον εἶπω γινόμενα (καίτοιγε οὐκ οἶδα τί ποτ' ἔχασος ἡμῶν ἥμαρτεν, ἀλλ' ὅμως τοσαύτη ἡ περιουσία τῶν πλημμεληκότων, ὡς μηδὲ ἀκριβῶς ἅπαντα εἰδότα δύνασθαι καὶ οὐ τούτων ἑλεῖν) πῶς οὐκ ἐρράγημεν βυχόμενος; πῶς οὐκ ἀπενοήθη; πῶς οὐκ ἐκενοδόξησε; τίς οὐ καλῶς εἶπε τὴν ἀδελφόν, οὐδὲ ἐδέξατο πονηρὸν ἐπιθυμίαν; οὐκ εἶδεν ἀκολάστοις ὀφθαλμοῖς; οὐκ ἐμνήσθη μὴ πάθους ἔρωτος, καὶ οἰδαίνειν τὴν καρδίαν ἐποίησεν; εἰ δὲ ἐν ἐκκλησίᾳ ὄντες, καὶ ἐν χαρᾷ βεβαχεῖ τοσούτοις ἐπεβύθιοι γεγόναμεν κακοῖς, πῶνες ἐσόμεθα ἐξελθόντες ἐντεῦθεν; Εἰ δὲ τὰ λιμνάζοντα ταῦτα τὰ κύματα, ὅταν ἐξέλθωμεν εἰς τὸ εὔπορον τῶν καθ' ἡμᾶς, τὴν ἀγορὰν λέγω, καὶ τὰ πολιτικὰ πράγματα, καὶ τὰς ἐν οἰκίᾳ φροντίδας, ἆρα ἑαυτοὺς ἕξομεν ὑπιγνάναι δυνησόμεθα; ἀλλ' ὅμως τῆς τῶν τοσούτων καὶ τηλικούτων ἁμαρτημάτων ἀπαλλαγῆς ἑδωκεν ἡμῖν ῥᾳστώνην καὶ ῥᾳδίαν ὁδὸν καὶ πάντως ἀπηλλαγμένην πόνου ὁ θεός. ποῖος γὰρ πόνος ἀφεῖναι τὰ λελυπηκότι; πόνος μὲν οὖν, τὸ μὴ ἀφεῖναι, ἀλλὰ κατέχειν τὴν ἔχθραν· ὡς τόγε ἀπαλλαγῆναι θυμοῦ, καὶ μυρίων πολλῶν ἐμποιεῖ, καὶ σφόδρα εὔκολον τοῖς βουλομένοις. οὐδὲ γὰρ πέλαγος διαβῆναι δεῖ, οὐδὲ ὁδὸν ἀποδημῆσαι μακρὰν, οὐδὲ ὁρᾶν ἀνθρώπων χορυφάς, οὐδὲ χρήματα δαπανῆσαι, οὐδὲ καταπεῖναι τὸ σῶμα· ἀλλ' ἐκ τῆς ψυχῆς τὸ θελῆσαι μόνον, καὶ πάντα λέλυται τὰ ἁμαρτήματα. μὴ μόνον αὐτὸς μὴ ἀφῇς, ἀλλὰ καὶ τῷ θεῷ κατ' αὐτοῦ ἐντυγχάνῃς, ἵνα λοιπὸν ἔξεις σωτηρίας ἐλπίδα, ὅταν, ἡνίκα δέῃ σε αὐτὸν δῆσαι, καὶ τότε αὐτὸν προσοχθίσῃς, ἱκέτα μὲν σχῆμα παρεικείμενος, θηρίου δὲ φωνὰς ἀφιεὶς, καθ' ἑαυτοῦ τὰ βέλη τὰ πονηρὰ δεξακοντίζων ἐκεῖνα; Διὰ τοῦτο καὶ ὁ Παῦλος βυχῆς μεμνημένος, οὐδὲν οὕτως ἐζήτησεν ὡς τῆς ἐντολῆς ταύτης τὸν φυλακὴν. Ἐπαίρονται γὰρ ὅσιοις χείρες, φησὶ, χωρὶς ὀργῆς καὶ διαλογισμοῦ. Εἰ γὰρ ὅτε ἐλεύθερος χρείαν ἔχεις, οὐδὲ τότε ἀφίης τὸν ὀργὸν, ἀλλὰ καὶ σφόδρα αὐτῆς μέμνησαι, καὶ ταῦτα εἰδὼς ὅτι καὶ σεαυτῷ ὁ ξίφος ὠθεῖς, πότε δυνήσῃ ἡμέρα θεοῦ φιλάνθρωπος, καὶ πονηρὸν ἀποβλύσαι τῆς πονηρίας ταύτης ἰόν; εἰ δὲ οὐδέπω τῆς ἀτοπίας ταύτης εἶδες τὸ μέγεθος, ἐπ' ἀνθρώπων αὐτὸ λογίζου γινόμενον, καὶ τότε ὀλέθρου τῆς ὑβρεως τὸν ἐπιφορὸν. Εἰ γὰρ ἀνθρώπῳ σοι ὄντι προσπλοκή τις ἀξιόλεκτος γένηται, εἶτα μεταξὺ κείμενος ὅτι τῆς γῆς εἶδεν ἐχθρὸν, καὶ ἀφεὶς σε ἱκετεύσαι, ἐκεῖνον ἔτυπτεν, ἆρα οὐκ ἂν μείζονα ἐποιησω τὸν ὀργόν; τοῦτο λογίζου καὶ ὅτι τοῦ θεοῦ συμβαίνειν. καὶ γὰρ καὶ σὺ τὸν θεὸν ἱκετεύων, μεταξὺ τινων ἱκετηρίαν ἀφεὶς, τὸν ἐχθρὸν τοῖς ῥήμασι τύπτεις, καὶ τοὺς τοῦ θεοῦ νόμους ὑβρίζεις, τὸν νομοθετήσαντα πᾶσαν ὀργὴν ἀφίεναι καὶ τὸν λελυπηκότων καλὸν, καὶ ἀξιοῦν ἐναντία τοῖς ἑαυτοῦ προστάγμασι ποιεῖν. οὐκ ἄρα ἀρκεῖ εἰς ἡμετέρας

ὑμφείας σοι λόγον, ὅτι σὺ παραβαίνεις τὸν νόμον τοῦ Θεοῦ, ἀλλὰ καὶ αὐτὸν τοῦτο παραναλίσκεις ποιῶν; μὴ γὰρ ἐπελάθετο ὧν ἐπέταξε; μὴ γὰρ ἀνήθεστός ἐστιν ὁ ταῦτα εἰπών; Θεός ἐστιν ὁ τὰ πάντα εἰδώς, καὶ μετ' ἀκριβείας ἁπάσης τοὺς ἑαυτοῦ βουλόμενος φυλάττεσθαι νόμους, καὶ τοσοῦτον ἀπέχων τοῦ ποιῆσαι ταῦτα, ἅπερ ἀξιοῖς, ὅτι καὶ σὲ τοῦ ταῦτα λέγοντα καὶ ὑπὲρ τοῦ λόγου μόνον ἀποστρέφεσθαι καὶ μισεῖν καὶ δίκαιον ἅπαντες ἐφάπτειν. πῶς οὖν ἀξιοῖς παρ' αὐτοῦ τυχεῖν, ὧν αὐτὸς μετὰ πολλῆς ἀπέχεσθαί σε κελεύει παρρησίας; ἀλλὰ γὰρ εἰσί τινες, οἳ δὲ εἰς τοσοῦτον ἀλογίας ἥκασιν, ὡς μὴ μόνον τῶν ἐμῶν κατατυχεῖν, ἀλλὰ καὶ τέκνοις ἐναντίοις τοῖς ἐκείνων, δὲ αὐτῶν, εἴγε οἷόν, ἀποτυσαμένους τῶν σαρκῶν ἀπαλλαγῆναι, μᾶλλον ἢ ἀποβάλωμαι. μὴ γάρ μοι τοῦτο εἴπῃς, ὅτι τοὺς ὀδόντας σου συνέπηξας τῷ σώματι τοῦ λευπηκότος. πολὺ γὰρ χαλεπώτερον ἐποίησας, τόγε εἰς σὲ ἦκον, ἀξιῶν λύθεν ὀργὴν ἐπενεχθῆναι κατ' αὐτῶν, καὶ ἀθανάτῳ παραδοθῆναι κολάσει, καὶ μετὰ τῆς οἰκίας ἀπαραπήνας ἁπάσης. ποίαν γὰρ ταῦτα ἀχαλεπώτερα δίκην; ποίων βελῶν οὐ πικρότερα; οὐ ταῦτά σε ἐπαίδευσεν ὁ Χριστός, οὐχ οὕτω τὸ σῶμα αἱμάττειν συνέλθωσε. καὶ γὰρ ἡμαγμένων σωμάτων ἀπὸ σαρκῶν λύθεν πτηνῶν χαλεπώτερα αἱ ταῦται γλῶτται. πῶς οὖν ἀπασάμην τὸν ἀδελφόν; πῶς ἅψῃ τῆς θυσίας; πῶς ἀπολούσῃ τὸ αἵματος τοῦ δεσποτικοῦ, τοσοῦτον ἔχων βόθρον τῆς μανίας ἴον; ὅταν γὰρ εἴπῃς, καταῤῥάξον αὐτόν, καὶ τὴν οἰκίαν λύσατε φόνου, καὶ πάντα ἀπόλεσον, καὶ μυρίοις αὐτοῦ ὀλέθροις καταδίκην, σοὶ λύθεν πολίονα διενθυμοχας, μᾶλλον ἢ λύθεν φοβοῦ θείου. παυσώμεθα τοίνυν τῆς νόσου ταύτης καὶ τῆς μανίας, καὶ τὴν φιλοθεσσιώτιν, ἣν συνέλθυσεν, ἐπιδειξώμεθα σοὶ σοῦ λευπηκότας, ἵνα γνώμεθα ὅμοιοι τοῦ παρόντος ἡμῶν τοῦ ἐν τοῖς οὐρανοῖς. παυσώμεθα γοῦν, λύθεν τῶν οἰκείων ἀναμνησθῶμεν ἁμαρτιῶν, λύθεν μετ' ἀκριβείας ἅπαντα ἐξετάσωμεν καὶ πεπλημμεληκότα ἡμῶν, καὶ ἔνδον, τὰ ἔξω, τὰ ἐν ἀγορᾷ, καὶ ἐν ἐκκλησίᾳ. εἰ γὰρ μηδενὸς ἕτερα, τῆς γοῦν συνταῦθα ὀλιγωρίας τὴν ἐφάπτειν ἀξιοί ἐσμεν δίκην ὑποσχεῖν. καὶ γὰρ φοβητῶν γαλλόντων, καὶ ἀποστόλων ὑπερνοιῶντων, καὶ Θεοῦ παρακεκινδυνευμένου, ἔξω πλανώμεθα, καὶ βιωτικῶν φροντισμάτων ἐπεισερχόμεθα χορύβου· καὶ οὐδὲ τοσαύτην ἀπενέγκασθαι τοῖς τοῦ Θεοῦ νόμοις τὴν ἡσυχίαν, ὅσην τοῖς τοῦ βασιλέως γράμμασιν οἱ τοῖς θεάτροις καὶ θεαταὶ παρέχουσι τὴν σιγήν. ἐκεῖ μὲν γὰρ τῶν γραμμάτων τῶν ἀναγινωσκομένων, καὶ ὑπάτου, καὶ ὑπάρχου, καὶ βουλῆς καὶ δήμου ὀρθοὶ πάντες ἑστήκασι μετὰ ἡσυχίας ἀκούοντες τῶν λεγομένων· κἂν μεταξὺ τῆς ἡσυχίας τῆς βαθυτάτης ἐκείνης ἀνθρώπου [ἄν] τις πηδήσας καταβοήσῃ, ἅτε εἰς τὴν βασιλέα ὑβρεικώς, τὴν ἐφάπτειν δίδωσι δίκην. ἐνταῦθα γοῦν, τῶν ἐκ τοῦ θείου γραμμάτων ἀναγινωσκομένων, πολὺς πάντα χόθεν ὁ χορυβος γίνεται· καίτοι καὶ ὁ πέμψας καὶ γράμματα πολὺ τοῦ βασιλέως τούτου μείζονα ἔχει, καὶ ὃ θεάτρων σεμνότερον (οὐ γὰρ ἀνθρώπων μόνον, ἀλλὰ καὶ ἀγγέλων ἐστὶ) καὶ τὰ ἐπινίκια ταῦτα, ἃ τὰ γράμματα διαγελίζει), πολλῷ τῶν ἐν τῇ γῇ φεικωδέστερα. διόπερ ἐκεῖ ἀνθρώποι μόνον, ἀλλὰ καὶ ἄγγελοι, καὶ ἀρχάγγελοι, καὶ τὰ θείων δῆμοι, καὶ ἐν τῇ γῇ πάντες ἀνθρωποι φθεγγόμενοι κελευόμεθα. Εὐλογεῖτε γάρ, φησι, Κύριον πάντα τὰ ἔργα αὐτοῦ. καὶ γὰρ ἁμαρτάνομεν καὶ παροργίζομεν, ἀλλὰ πάντα ὑπερβαίνει λόγον καὶ νοῦν ἡ ἀνθρωπίνη. καὶ ταῦτα καθ' ἑκάστην ἡμέραν ἀνακηρύττουσιν οἱ τοσοῦτοι, διαφόρως ἕκαστος τὸ λαμπρὸν τοῦτο ἔργον διαγραφόμενοι. ὁ μὲν γὰρ, Ἀνέβης εἰς ὕψος, φησίν, ἠχμαλώτευσας αἰχμαλωσίαν, καὶ ἔλαβες δόματα ἐν ἀνθρώποις· καὶ, Κύριος κραταιὸς καὶ δυνατὸς ἐν πολέμῳ. ὁ δέ φησι, τὴν ἰσχὺν μεμιγμένην καὶ σκύλα. καὶ γὰρ διὰ τοῦτο ἦλθεν, ὥστε κηρύξαι αἰχμαλώτοις ἄφεσιν, καὶ τυφλοῖς ἀνάβλεψιν. ὁ δὲ τὸν θάνατον τὸ ἐπινίκιον ἀλαλάζων· ὦ θάνατε, ποῦ σου τὸ νῖκος; ποῦ σου, ᾅδη, τὸ κέντρον; ἕτερος δὲ [αὖ] πάλιν τὸν βαθυτάτῳ εἰρωνίᾳ διαγελίζόμενος ἔλεγε· Σωτείνουσι καὶ μαχαίρας αὐτῶν εἰς ἀορτὰς, καὶ καὶ ζιβύας αὐτῶν εἰς δρέπανα. καὶ ὁ μὲν τὴν Ἱερουσαλὴμ καλεῖ, λέγων, Χαῖρε στρόδρα

Ψαλμ. ρβ. κβ.
Ψαλμ. ξη. ιη.
Ἐφεσ. δ. η.
Ψαλμ. κγ. η.
α. Κορ. ιε. νε.
Ἐσα. κγ. δ.
Ἀπολλ. γ. ι.
Ζαχ. θ. θ.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

* κήρυσσε, θύγατερ Ιερουσαλήμ,

Ναουμ. α. ιε. Ρωμ. ι. ιε. "Ταύτην γὰρ καὶ ὁ προφήτης ἐκήρυττεν προσφωνῶν λέγων· Ὡς ὡραῖοι ἐπὶ τὰ ὄρη οἱ πόδες τῶν εὐαγγελιζομένων εἰρήνην. Εἶτα αὐτῆς τὸ ἀξίωμα ἑρμηνεύων ἐπήγαγε· τῶν εὐαγγελιζομένων τὰ ἀγαθά. Ταύτην δὲ ὁ Χριστὸς μεγάλην ὅταν ἀπέφηνεν, εἶπεν· Εἰρήνην ἀφίημι ὑμῖν, εἰρήνην τὴν ἐμὴν δίδωμι ὑμῖν. καὶ γὰρ πρῶτα ποιῶν, ὥστε αὐτῆς ἀπολαύειν, καὶ ἐν οἰκίᾳ δὲ καὶ ἐκκλησίᾳ. καὶ γὰρ καὶ ἐν τῇ ἐκκλησίᾳ ὁ προέδρου δίδωσιν εἰρήνην. καὶ ἔστι ἐκείνου τύπος ὅστις, καὶ διὰ μὲν πάσης αὐτὴν δέχεσθαι τὴν προθυμίας, τὴν γνώμην πρὸ τῆς τραπέζης. εἰ γὰρ τὸ ἀπὸ τῆς τραπέζης μὴ μεταδιδόναι φορτικόν, τὸ μὴ λέγοντα δι' ἀκριβείας, πόσῳ μᾶλλον ἂν φορτικώτερον; Διὰ σὲ κάθηται ὁ πρεσβύτερος, διὰ σὲ ἔστηκεν ὁ διάκονος πονῶν καὶ ταλαιπωρούμενος. Ἵνα οὖν ἔχεις ἀπολογίαν, μηδὲ τοῦ ἐκ τῆς ἀκροάσεως αὐτὸ προφέρων ὑποδοχὴν; καὶ γὰρ οἰκία κοινὴ πάντων ἐστὶν ἡ ἐκκλησία, καὶ προλαβόντων ὑμῶν εἰσιέναι ἡμᾶς, τὸν ἐκείνων τύπον διαπηρωῶντες. διὰ τοῦτο καὶ κοινὴ πᾶσι τοῦ εἰρηνεύειν ἐπιλέλυται εἰσιόντες διαθέως, καὶ οὐ νόμον ἔχοντες. μηδεὶς τοίνυν ἔστω ῥᾴθυμος, μηδεὶς μετέωρος, εἰσελθόντων τῶν ἱερέων καὶ λεγόντων. οὐδὲ γὰρ μικρὸν ὅπου τοῦτο κεῖται κόλασις. καὶ γὰρ βουλοίμην ἂν ἔγωγε μυριάκις εἰς οἰκίαν τινὸς ὑμῶν εἰσελθὼν διαπορηθῆναι, ἢ ἐν τούτῳ λέγων μὴ ἀκουσθῆναι. τοῦτο ἐμοὶ φορτικώτερον ἐκείνου· ὅπου καὶ κινδυνωτέρα αὕτη ἡ οἰκία. καὶ γὰρ τὰ μεγάλα ἡμῶν ἐνταῦθα κεῖται κλήματα, ἐνταῦθα ἡμῶν αἱ ἐλπίδες πᾶσαι. Τί γὰρ ὄχι ἐνταῦθα μέγα καὶ φοβερώτερα; καὶ γὰρ ἡ τράπεζα αὕτη πολλῷ τιμιωτέρα ἐκείνης δὲ ἡδίων, καὶ ἡ λυχνία τῆς λυχνίας· καὶ ἴσασιν ὅσοι μετὰ πίστεως καὶ εὐκαίρως ἐλαίῳ χρισάμενοι νοσήματα ἔλυσαν· δὲ τὸ κιβώτιον ὅπου τοῦτο ἐκείνου τῆς κιβωτοῦ πολλῷ βέλτιον καὶ ἀναγκαιότερον (οὐ γὰρ ἱμάτια, ἀλλ' ἐλεημοσύνην ἔχει συγκεκλεισμένην, εἰ καὶ ὀλίγοι εἰσὶν οἱ κεκτημένοι ἐνταῦθα) καὶ κλίνη ἐκείνης βελτίων. ἡ γὰρ τῶν θείων γραφῶν ἀνάπαυσις πάσης κλίνης ἡδίων ἐστί. καὶ εἰ καλῶς ἴσως ἡμῖν τὰ τῆς ὁμονοίας καταρθωθήσεται, ὅτι ἂν ἑτέραν ἕρμοσθα τοιαύτην οἰκίαν. καὶ ὅτι οὐ φορτικὸν τὸ εἰρηνεύειν, μάρτυρεσθσιν οἱ τρισχίλιοι καὶ οἱ πεντακισχίλιοι, καὶ οἰκίαν καὶ τράπεζαν καὶ ψυχὴν ἑκάστοτε μίαν. Τοῦ γὰρ πλήθους τῶν πιστευσάντων, φησίν, ἦν ἡ καρδία καὶ ἡ ψυχὴ μία. ὅπου δὲ πολὺ τῆς ἐκείνων ἀποδεόμεθα ἀρετῆς, καὶ διαχρώμεθα κατὰ οἰκίας, καὶν, οἶμαι, ἐνθάδε συλλεγώμεθα, μετὰ προθυμίας τοῦτο ποιῶμεν. εἰ γὰρ ἐν τοῖς ἄλλοις πλουτοῦμεν καὶ πένητες ἐσμεν, ἀλλ' ἐν τούτοις πλούσιοι. διὰ καὶ ἐνταῦθα δέξασθε μετὰ ἀγάπης εἰσιόντας ἡμᾶς πρὸς ὑμᾶς· καὶ ἵνα εἴπω, εἰρήνη ὑμῖν, εἶτα εἴπητε, καὶ τῷ πνεύματί σου, μὴ τῇ φωνῇ μόνον, ἀλλὰ δὲ τῇ γνώμῃ λέγετε· μὴ τῷ στόματι, ἀλλὰ καὶ τῇ διανοίᾳ. ἂν γὰρ ἐνταῦθα μὲ λέγῃς, εἰρήνη καὶ τῷ πνεύματί σου· ἔξω δέ μοι πολεμῇς διαπτύων καὶ κακηγορῶν, μυρίοις λοιθορήμασι πλιόνων ὀνείδεσι, ποία εἰρήνη αὕτη; ἐγὼ μὲν γὰρ, κἂν μυριάκις κακηγορήσῃς, μετὰ καθαρᾶς καρδίας τὴν εἰρήνην σοι δίδωμι, μετὰ εἰλικρινοῦς γνώμης, καὶ πονηρὸν οὐδὲν διανοοῦμαί ποτε περὶ σοῦ εἰπεῖν. αὐλάγχνα γὰρ ἔχω πατερικά. κἂν ὑβρισθῶ ποτέ, κηδόμενος τοῦτο ποιῶ. σὺ δὲ λοιθορῶν δὲ μὴ δεχόμενός με ἐν τῇ δεσποτικῇ οἰκίᾳ, δέδοικα μὴ πάλιν μοι τὴν ἀθυμίαν αὔξῃσῃς· οὐκ ὄφελος ὕβρεισας, οὐδὲ ὄφελος ἐξέβαλες, ἀλλ' ὄφελος τὴν εἰρήνην ἀπεκρούσω, καὶ τὴν χαλεπὴν ἐκείνην ἐπεισάσω κόλασιν. κἂν γὰρ μὴ ἐκτινάξω κονιορτὸν ἐγὼ, κἂν μὴ ἀποστραφῶ, τὰ τοῦ ἀπειλῆς ἀκίνητα μένει. ἐγὼ μὲν οὖν ὀπίσω ὑμῖν εἰρήνην, καὶ ἀεὶ τοῦτο λέγων οὐ παύσομαι· ἂν δὲ μὴ τῶν ὑβρεών με δέξησθε, οὐδὲ οὕτω κονιορτὸν ἐκτινάσω· οὐκ ὄφελος

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ὑπὲρ ὑμῶν καυχῶμαι τῇ δεκαπόλει, ἀλλ' ὑπὲρ ὑμῶν σφόδρα ὑμῶν καυχώμεθα. ἄλλως τε, οὐδὲ ἔπαθόν τι ἐγὼ ὑμᾶς, ὅτε μακρὰν ἦλθον ἀποδημίαν, οὐδὲ μετὰ τὸ χρήματος ἐκείνου καὶ τῆς ἀκτημοσυνίας ἦλθον (ἐχρῆν τοῦτο ποιεῖν ἑαυτοῖς ἐγκαλοῦντα) οὐδὲ χωρεῖς ἐπαποδημίαν καὶ δευτέρου χιτῶνος· ἐχρῆν τοῦτο ἅπαντα ἐκ τῶν ὑμῶν ἐλιμπάνετε. πλὴν ἀλλ' οὐκ ἔχει δι-
5 τὸ ὑμῖν εἰς ἀπολογίαν· ἀλλ' ἡμῖν μὲν τὸ κρίμα μεῖζον, ὑμῖν δὲ συγγνώμης οὐ μεταδίδωσι. τότε μὲν οἰκίαν ἐκκλησίαν ἦσαν, νῦν δὲ ἡ ἐκκλησία οἰκία γέγονεν. οὐδὲν ἴσως τότε ἦν οἰκίας λαλῆσαι βιωτικόν· οὐδὲν ἔστι νῦν ἐν ἐκκλησίᾳ πνευματικὸν εἰπεῖν, ἀλλὰ καὶ ἐν ταύτῃ τὰ ἐκ τῆς ἀγορᾶς ἐπεισάγετε, καὶ τοῦ Θεοῦ λεγομένου ἀφέντες τὰ σιγῇ τῶν λεγομένων ἀκούειν, παράνομα φέροντες ἐμβάλλετε πράγματα. καὶ εἴθε τὰ ὑμέτερα· νυνὶ δὲ τὰ μηδὲν ὑ-
10 μῖν προσήκοντα καὶ λέγετε καὶ ἀκούετε. ἐχρῆν ταῦτα θρηνεῖν, καὶ θρηνῶδη ἦν πάσομεν. οὐδὲ γὰρ εἰμι κύριος τῶν οἰκείων ἀμείψαι ταύτῃ, ἀλλ' ἐν ταύτῃ ἀνάγκη μένειν, ἕως ἂν ἐκ τοῦ παρόντος ἐξέλθωμεν βίου. χωρήσατε τοίνυν ἡμᾶς, καθὼς ὁ Παῦλος ἐκέλευσεν. οὐδὲ γὰρ περὶ τραπέζης ἐκεῖ ὁ εἰρηνεύων ἐστὶν, ἀλλὰ περὶ γνώμης καὶ ἐχθρῶν. τοῦτο καὶ
15 ἡμεῖς παρ' ὑμῶν ζητοῦμεν, τῶν ἀγάπην, τὴν φιλίαν τὴν θερμὴν ἐκείνην καὶ γνησίαν. εἰ δὲ καὶ τοῦτο μὴ ἐνέγκαθε, κἂν ὑμᾶς αὐτοὺς φιλήσατε τὴν παρεδοσαν ἀποτιθέμενοι ῥᾳθυμίαν. ἀρκεῖ τοῦτο εἰς παραμυθίαν ἡμῖν, ἂν ἴδωμεν εὐδοκιμοῦντας καὶ γνωμένους βελτίους ὑμᾶς. οὕτω καὶ αὐτὸς μείζονα ἐπιδείξομαι τὴν ἀγάπην, εἰ καὶ περισσότερον ἀγαπῶν ἧττον ἀγαπῶμαι. καὶ γὰρ πολλά ἐστι τὰ ζωπυροῦντα· μία τράπεζα πᾶσιν κεῖται πᾶ-
20 σιν, εἷς ἐθήλυνεν ἡμᾶς πατήρ, ταὐτὰ ἐπνεύσαμεν ὠδῖνας, τὸ αὐτὸ ποτὸν ἅπασι δέδοται· μᾶλλον δὲ οὐ μόνον τὸ αὐτὸ ποτὸν, ἀλλὰ καὶ ἐξ ἑνὸς ποτηρίου. ὁ γὰρ πατὴρ βουλόμενος ἡμᾶς εἰς φιλοσοφίαν ἀγαγεῖν, καὶ τοῦτο ἐμηχανήσατο, ἐξ ἑνὸς ποτηρίου πίνειν ποιήσας ἡμᾶς· ὅπερ ὑπόταυθά ἐστιν ἀγάπης. ἀλλ' οὐκ ἐσμὲν ἄξιοι τῶν ἀποστόλων ἡμεῖς. ὁμολογῶ κἀγώ, καὶ οὐκ ἂν ποτε ἀρνηθείην. οὐ γὰρ μόνον ἐκείνων, ἀλλ' οὐδὲ τῆς σκιᾶς ἄξιοι τῆς ἐκείνων ἡμεῖς. ἀλλ' ὅμως τὰ παρ' ὑμῶν* ἡμέσθω· οὐδὲν ὑμᾶς τοῦτο καταισχύνη
25 δυνήσεται, ἀλλὰ μᾶλλον ὠφελήσει μείζονος. ὅταν γὰρ καὶ ἀνάξιοι τοσαύτην ἐπιδείξησθε τὴν ἀγάπην καὶ τὴν καυχησιν, τότε μείζονα λήψεσθε τὴν ἀνταπόδοσιν. οὐδὲ γὰρ τὰ ἡμέτερα λέγομεν (ἐπεὶ μηδὲ ἔστιν ἡμῖν διδάσκαλος ἐπὶ τῆς γῆς) ἀλλ' ἃ παρελάβομεν, καὶ διδάσκομεν, καὶ διδόντες οὐδὲν πλέον ἐπιζητοῦμεν παρ' ὑμῶν, ἀλλ' ἢ τὸ φιλεῖσθαι μόνον. εἰ δὲ ἀνάξιοι καὶ τούτου, ἀλλ' ἀπὸ τοῦ φιλεῖν ὑμᾶς ἀξιοι ταχέως ἐσόμεθα. καίτοιγε προσεταγ-
30 μένον μὴ τοὺς φιλοῦντας φιλεῖν μόνον, ἀλλὰ καὶ τοὺς ἐχθρούς. τίς οὖν ἔτως ἀπιθανὸς, τίς οὕτως ἄγελος, ὃς τοιοῦτον δόξαντος νόμου, καὶ τοὺς φιλοῦντας ἀποστραφήσεται καὶ μισήσει, κἂν μυρίων κακῶν ἀνάμεστος ᾖ; κοινωνήσαμεν τραπέζης πνευματικῆς· κοινωνήσωμεν καὶ ἀγάπης πνευματικῆς. εἰ γὰρ λησταὶ, κοινωνήσαντες ἀλλήλοις, ἐπιλανθανόμενοι τῶν ξίφους, ἵνα ἔχωμεν ἀπολογίαν ἡμεῖς, σώματος [ἀεὶ] δεσποτικοῦ μετέχοντες, καὶ οὐδὲ τὴν ἐκείνων μι-
35 μούμενοι ἡμερότητα; καίτοιγε πολλοῖς ἔχει τράπεζα μόνον, ἀλλὰ καὶ τὸ πόλεως εἶναι μίαν ἅπαντας εἰς φιλίαν· ἡμεῖς δὲ, ὅταν εἰς πόλιν τὴν αὐτὴν ἔλθωμεν, καὶ οἰκίαν τὴν αὐτὴν, καὶ τράπεζαν, καὶ ὁδὸν, καὶ θύραν, καὶ ῥίζαν, καὶ ζωὴν, καὶ κεφαλὴν, καὶ ποιμένα τὸν αὐτὸν, καὶ βασιλέα, καὶ διδάσκαλον, καὶ κριτὴν, καὶ δημιουργὸν, καὶ πατέρα, καὶ πάντα ἡμῖν ἡ κοινὰ, τίνος μὴν εἰ-
40 μεθα συγγνώμης ἄξιοι ἀπ' ἀλλήλων διαιρούμενοι; ἀλλὰ καὶ σημεῖα ζητεῖτε, ἅπερ εἰσὶν ἐπιόντες ἐπιόντων ἐκφύλων, τοὺς λεπρούς τοὺς καθαιρομένους, καὶ τοὺς δαίμονας τοὺς ἐλαυνομένους, καὶ τοὺς ἐγειρομένους νεκρούς; ἀλλὰ καὶ τοῦτο [καὶ] τῆς δυσμενείας ὑμῶν μέγιστον δεῖγμα καὶ τῆς ἀγάπης, ὃ μὴ μετ' ἐνεχύρων πιστεύειν τῷ Θεῷ. καὶ γὰρ καὶ διὰ τοῦτο, καὶ δι' ἕτερον τὰ σημεῖα ἔπαυσεν ὁ Θεός. εἰ δὲ, οὐ γινομένων σημείων, πλεονεκτήμασιν ἑτέροις κομῶντες, οἷον λόγου σοφίᾳ, ἢ βιωτικοῖς, ἐπαίρονται, ἀπ' ἀλλήλων

λων

λων χάζονται· εἰ γὰρ σημεῖα ἐγένοντο, ποῦ ἂν ἦλθεν ῥήματα; καὶ ὅτι ὁ τοιχασμὸς ὁ εἰρημένον, μάρτυρησον Κορίνθιοι εἰς πολλὰ ἀντεῦθεν διαιρεθέντες μέρη. μὴ δὴ σημεῖα ζήτει, ἀλλὰ ψυχῆς ὑγείαν· μὴ ζήτει νεκρὸν ἕνα ἰδεῖν ἐγερθέντα. καὶ γὰρ ἔμαθες ὅτι ὀλόκληρος ἡ οἰκουμένη διέσπα). μὴ ζήτει τυφλὸν ἰδεῖν θεραπευόμενον, ἀλλ' ὅρα πῶς αἰσθέσπονται νῦν τὴν βελτίω καὶ χρησιμωτέραν διάθεσιν, καὶ μάθε γὰρ σὺ σωφρόνως ὁρᾶν, καὶ διέρρηξάν σε (ν) ὀφθαλμόν. καὶ γὰρ εἰ πάντες ὡς ἐγὼ ἐζήλου, μᾶλλον δὲ τῶν θαυματουργούντων ἐθαύμασαν αἱ ἡμᾶς ἐλλιπῶν παῖδες. τὰ μὲν γὰρ σημεῖα, καὶ φαντασίας ἐποίουν ἐκ πολλάκις, καὶ ἕτερον πονηρὸν ἐποίησαν, εἰ καὶ τὰ ἡμέτερα δ' τοιαῦτα· βίος γὰρ καθαρὸς ἐδείκνυτο τοιαύτην ἐπήρειαν δυνάμενος) δέξασθαι· ἀλλὰ πάντων ἐμφανῶς τὰ σώματα τῆς ἀρετῆς ἡ κλῆσις. ταύτης τοίνυν ἐπιμελώμεθα. πολὺς γὰρ αὐτῆς ὁ πλοῦτος καὶ τὸ θαῦμα μέγα. αὕτη τοίνυν οὕτως ἐλευθερίαν παρέχει, καὶ ἐν τῇ δουλείᾳ θεωρεῖσθαι ταύτην παρασκευάζει, οὐκ ἀπαλλάττουσα τῆς δουλείας, ἀλλὰ δούλους μόνους ἐλευθέρων ἀποφαίνουσα σεμνοτέρους, ὁ τῶν δοκούντων ἐλευθερίαν πολλῷ πλέον ἐστίν· οὐ ποιοῦσα πλουσίον (ν) πένητα, ἀλλὰ μόνον πένητα, ἵνα πλουσίου" εὐπορώτερον ἀποφαίνουσα. εἰ δὲ καὶ σημεῖα βούλει ποιῆσαι, ἀπαλλάγηθι πλημμελημάτων, καὶ ὃ πάντων ἰώμενος. καὶ γὰρ μέγας δαίμων ἡ ἀκρασία, ἀγαπητέ. καὶ ταύτην ἐξέλης, τῶν μυρίους δαίμονας ἐλαυνόντων μεῖζον
α. Κορ. ιϛ. λα. εἰργάσω. ἄκουσον Παύλου λέγοντος, καὶ τὴν ἀρετὴν τῶν θαυμάτων προτιθέντος· Ζηλοῦτε δέ, φησι, τὰ χαρίσματα τὰ" πνευματικά· καὶ ἔτι καὶ" καθ' ὑπερβολὴν ὁδὸν ὑμῖν δείκνυμι. καὶ μέλλων λέγειν τὴν ὁδὸν ταύτην, ὅτε νεκρῶν ἔλεγεν" ἐγείρειν, ἢ λεπροὺς καθαρίζειν, οὐκ ἄλλο τῶν τοιούτων ἔφη· ἀλλ' ἢ διὰ πάντων τούτων τὴν ἀγάπην τέθεικεν. ἄκουσον καὶ τοῦ Χριστοῦ λέγοντος· Μὴ χαίρετε ὅτι τὰ δαιμόνια ὑμῖν ὑποτάσσεται), ἀλλ' ὅτι τὰ ὀνόματα ὑμῶν γέγραπται ἐν τοῖς οὐρανοῖς. καὶ πρὸ τούτου πάλιν, Πολλοί μοι ἐροῦσιν ἐν ἐκείνῃ τῇ ἡμέρᾳ, ὅτι τῷ σῷ ὀνόματι δαιμόνια ἐξεβάλομεν, καὶ δυνάμεις πολλὰς ἐποιήσαμεν· καὶ τότε" ὁμολογήσω αὐτοῖς ὅτι οὐκ οἶδα ὑμᾶς. καὶ ὅτε ἔμελλε χωρεῖσθαι, καλέσας τοὺς μαθητὰς ἔλεγε αὐτοῖς· Ἐν τούτῳ γνώσονται) πάντες, ὅτι ἐμοὶ μαθηταί ἐστε, ἐὰν δαίμονας ἐκβάλητε, ἀλλ' ἐὰν ἀγάπην ἔχητε ἐν ἀλλήλοις. καὶ πάλιν, ἐν τούτῳ γνώσονται πάντες ὅτι σύ με ἀπέστειλας, οὐχὶ αἱ νεκροὺς ἐγείρουσιν ὅτοι, ἀλλ' ἐὰν ὦσιν ὅτοι ἕν. τὰ μὲν γὰρ σημεῖα πολλάκις ἕτερον μὲν ὠφέλησε, (ν) ὃ ἔχοντα προέβλαψεν, εἰς ἀπόνοιαν ἐμβάλλοντα καὶ κενοδοξίαν· ὅπερ ἦν τῶν ἔργων οὐδὲν τοιοῦτον ἐργάσασθαι" ἐνί, ἀλλὰ καὶ τὸν μετιόντας αὐτὰ καὶ ἑτέροις πολλοῖς ὠφελεῖ. ταῦτα τοίνυν μὴ πολλῆς τῆς ἐπιμελείας ἐργασώμεθα. δεῖ γὰρ δέ ἀπόνου θεωρίας εἰς ἐλεημοσύνην μεταβάλλῃς, ξηρὰν τὴν χεῖρα οὖσαν δέξέτεινας· δεῖ θεάτρων ἀποστῆναι, ὅπου τὴν ἐκκλησίαν εἰσίῃς, χωλεύοντα (ν) πόδα διώρθωσας· εἰ ἀποστήσῃς τοὺς ὀφθαλμούς σου ἀπὸ πόρνης καὶ κάλλους ἀλλοτρίου, τυφλοὺς ὀργὰς ἀνέῳξας· ἐὰν δὲ σατανικῶν ᾠδῶν ψαλμοὺς μάθῃς πνευματικούς, κωφὸς ὢν ἐλάλησας. ταῦτα τὰ θαύματα μέγιστα, ταῦτα τὰ σημεῖα θαυμάσια. εἰ ταῦτα τὰ σημεῖα ποιοῦντες διατελοῦμεν, ἐν αὐλῇ μεγάλοι οἰκέται ἐσόμεθα, καὶ τῶν πονηρῶν ἀπαλλασσόμεθα πάντας εἰς ἀρετήν, ἐν τῇ μελλούσῃ ἀπολαύσομεν ζωῇ· ἧς γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ᾧ ἡ δόξα καὶ τὸ κράτος, εἰς [ἀτελευτήτους] τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Ομιλ. λγ. 16 ΙΔΟΥ, ΕΓΩ ΑΠΟΣΤΕΛΛΩ ΥΜΑΣ, ΩΣ πρόβατα ἐν μέσῳ λύκων. γίνεσθε οὖν φρόνιμοι ὡς (ν) ὄφεις, καὶ ἀκέραιοι ὡς αἱ περιστεραί.

Ἐπειδὴ

ΕΠειδὴ δεῖ τῆς ἀναγκαίας ἐποίησεν αὐτοὺς θαρρεῖν τροφῆς, καὶ τὰς πόνων ἀνέωξεν αὐλοῖς οἰκίας, καὶ σεμνοὶ τῇ εἰσόδῳ αὐτῶν ἧμα περιέθηκεν, οὐχ ὡς ἁλήτας καὶ πεπτωκότας εἰσιέναι κελεύων, ἀλλ' ὡς τὸν ὑποδεχομένων πολλῷ σεμνοτέρους (τοῦτο γὰρ ἔδειξε δι' ὧν ἔλεγεν· ἄξιος ὁ ἐργάτης τῆς μισθοῦ αὐτοῦ, καὶ δι' ὧν εἰσέλθοντες ἐρωτᾶτε τίς ἄξιος, κἀκεῖ μένετε, καὶ ἀσπάσασθαι τοὺς δεχομένους παρήνεσε, καὶ δι' ὧν τοῖς μὴ δεχομένοις τὰ οἰκεῖα ἠπείλησε κακά) ὅπερ οὖν αὐτὴν ἐξέβαλεν αὐτῶν τοῦ φρονήματος, καὶ τὴν τῶν σημείων καθώπλισεν ἐπιδείξει, καὶ σιδηροῦς ἅπαντας καὶ ἀδαμαντίνους εἰργάσατο, πόνων ἀπαλλάξας τῶν βιωτικῶν, καὶ πάσης ἐλευθερώσας ἐπιχαίρειν μελίμνης αὐλοὺς, λέγει λοιπὸν καὶ τὰ μέλλοντα συμπίπτειν αὐλοῖς κακά· καὶ τὰ μικρὸν ὕστερον συμβησόμενα μόνον, ἀλλὰ καὶ τὰ μετὰ μακρὸν ἐσόμενα χρόνον, λύων καὶ περὶ πολλοῦ τοὺς πρὸς Ⓦ διάβολον παρασκευάζων αὐτοὺς πολεμεῖν. καὶ γὰρ πολλὰ ἐντεῦθεν κατορθοῦτο· καὶ πρῶτον, ὃ μαθεῖν τῆς προγνώσεως αὐτοῦ τὸ δύναμιν· δεύτερον δέ, ὃ μηδένα ὑποπτεύειν, ὅτι δι' ἀσθένειαν τοῦ διδασκάλου ταῦτα ἐπήει τὰ δεινά· τρίτον, ὃ τοὺς ὑπομένοντας ταῦτα μὴ ἐκπλήττεσθαι τῇ ἀπροσδοκήτου καὶ παρ' ἐλπίδας ἐκβαινούσῃ· τέταρτον, ὃ μὴ περὶ αὐτὸν Ⓦ καιρὸν τὸ σφοδρὸν ταῦτα ἀκούοντας θορυβηθῆναι. καὶ γὰρ καὶ ἔπαθον τοῦτο αὐτὸ τότε, ὅτε καὶ ὀνειδίζων αὐλοῖς ἔλεγεν· Οτι ταῦτα λελάληκα ὑμῖν, ἡ λύπη πεπλήρωκεν ὑμῶν τὴν καρδίαν, καὶ οὐδεὶς ἐξ ὑμῶν ἐρωτᾷ με, ποῦ ὑπάγεις. καίτοι οὐδέν οὐδέπω περὶ ἑαυτοῦ λέγει· οἶδ, ὅτι δεδήσεται καὶ μαστιγωθήσεται καὶ ἀναιρεθήσεται, ὥστε μὴ καὶ ταύτῃ συνταράξαι αὐτῶν τὴν διάνοιαν· ἀλλὰ πέρας τὰ αὐλοῖς συμβησόμενα περαναφωνεῖ. εἶτα, ἵνα μάθωσιν ὅτι καινὸς ἔσται ὁ τοῦ πολέμου νόμος, καὶ παράδοξος ὁ τῆς παρατάξεως τρόπος, γυμνοὺς πέμπων καὶ μονοχίτωνας καὶ ἀνυποδήτους, εἰς χωρεῖς ῥάβδου, καὶ χωρεῖς ζώνης καὶ πήρας, εἰς παρὰ τῶν δεχομένων κελεύων τρέφεσθαι, οὐδὲ ἐνταῦθα Ⓦ λόγον ἔσχεν· ἀλλὰ δείκνυσι αὐτοῦ τὴν ἄφατον δύναμιν, φησὶ καὶ ὕπτιος ἀπιόντες τὴν τῶν πραγμάτων ἡμερότητα ἐπιδείκνυσθε, καὶ ταῦτα πρὸς λύκους ἑαυτοὺς μέλλοντες· καὶ οὐχ ἁπλῶς πρὸς λύκους, ἀλλὰ καὶ "ἐν μέσῳ λύκων. καὶ ὅ πραγμάτων ἡμερότητα μόνον ἔχειν κελεύει, ἀλλὰ καὶ τῆς πρεπούσης ὃ ἀκέραιον. ὕτω γὰρ μάλιστα τὴν ἐμὴν ἐνδείξομαι ἰσχύν, ὅταν πραγματα λύκων πρὸς ἡμῶν ἐν μέσῳ τῶν λύκων ὄντα εἰς μηδὲν λαμβάνοντα δήγματα, μὴ μόνον μὴ κατημαλίσκηται, ἀλλὰ καὶ ἐκείνους "μεταβάλλη· ὃ πολλῷ θαυμαστότερόν ἐστι καὶ μᾶλλον τὸ ἀνελεῖν, ὃ μεταθεῖναι τὴν γνώμην καὶ μεταρρυθμίσαι τὴν διάνοιαν· εἰ ταῦτα δώδεκα ὄντας μόνον, τῆς οἰκουμένης τῶν λύκων ἐμπεπλησμένης. αἰχμαλωτίζομεν τοίνυν Ⓐ παναντία ποιοῦντες, Ⓐ ὡς λύκοι τοῖς ἐχθροῖς ἐπιτιθέμενοι. ἕως μὲν γὰρ αὐτοὶ πρόβατα, νικώμεθα· κἂν μυρίοι περισταίησαν λύκοι, περιγινόμεθα καὶ κρατούμεθα· ἂν δ' ἡμεῖς λύκοι, ἡττώμεθα. ἀφίσανται γὰρ ἡμῶν ἡ τοῦ ποιμένος βοήθεια. ὅταν μὲν λύκους, ἀλλὰ πρόβατα ποιμαίνει, καὶ καταλιμπάνει σε καὶ ἀναχωρεῖ· οὐδὲ γὰρ συγχωρεῖ αὐτὸν δειλίᾳ τὴν δύναμιν. ἂν δὲ πάσχων κακῶς, ἡμερότητα ἐπιδείξῃ, αὐτῷ λογίζεται ἅπαν τὸ ἔμπαλιν· ἂν δὲ ἐπτοημένος καὶ πυκλοῦσθαι, ἐπισκιάζει τὴν νίκην. σὺ δέ μοι σκόπει τίνες εἰσὶν Ⓐ τῶν" πραγμάτων τούτων ἀκούοντες τῶν σκληρῶν καὶ "ἐπιπόνων. Ⓐ δειλοὶ καὶ ἰδιῶται, Ⓐ ἀγράμματοι καὶ ἀμαθεῖς, Ⓐ πανοῦργοι * ἄσημοι, Ⓐ μηδέποτε τοῖς ἔξωθεν" ἐντραφέντες νόμοις, Ⓐ μὴ ταχέως εἰς ἀγορὰς ἐμβάλλοντες ἑαυτοὺς, Ⓐ ἀλιεῖς, Ⓐ τελῶναι, Ⓐ μισθῶν γέμοντες ἐλαφρῶς. εἰ δὲ καὶ οὗτοι ὑψηλοὺς καὶ μεγάλους ἐθνῶν τοὺς θορυβῆσαι λόγους, οὐδὲ πανοῦργοι ἀπειρόκακοι καὶ οὐδέν οὐδέποτε φαντασθέντες ἡγνωκότες πῶς οὐκ ἂν ἐδύναντο καταβαλεῖν καὶ ἐκπλῆξαι; ἀλλ' οὐ κατέβαλε· καὶ μάλα εἰκότως. καὶ ἴσως εἴποι τις ἂν· ἔδωκε γὰρ αὐτοῖς ἐξ-

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ασίαν λεπρους καθαίρειν, και δαίμονας ἐκβαλλειν. ἐγω δε και ἁπλουν αν εἰποιμι, ὅτι αὐτο μοι δοκω τουτο μαλιστα αὐτους ἰσχυον ἐπ' ἐκεινοις θορυβησαι, ὅτι και νεκρους ἐγειροντες, και λυπρα ἐκαθαιρον παντα ἐμηχανωντο, και δικαστηρια, και ἀπαγωγας, και τους ἁπλως πολεμους, και τον κοινον της οἰκουμενης μισος, και τοσαυτα αὐτους θαυματουργειν ἐδυναμενην δεινα. Τις οὖν ἡ τουτων πολλων ἀφελεια; ἡ τις πεμποντος δυναμις. διο δε τουτο περι πολλων τεθεικε, λεγων· ἰδου ἐγω ἀποστελλω ὑμας. ἀρκει τουτο εἰς παραμυθιαν ὑμιν· ἀρκει τουτο εἰς θαρρος, και "μηδενα δεδοικεναι πλην ὀπιοντων. Εἶδες αὐθεντιαν; εἶδες ἐξουσιαν; εἶδες δυναμιν ἀμαχον; οὐ λεγω τοιουτον ὄχλον· μη θορυβησητε, φησιν, ὅτι μεταξυ λυκων πεμπω ὡς προβατα, και ὡς προιεμενος εἰς κελευω. ἐδυναμουν μεν γαρ ποιησαι τουναντιον, και μηδεν ὑμας ἀφελειν δεινον ἐπορευθην, μηδε ὡς προβατα ἐπορευθην λυκοις, ἀλλα λεόντων ἐργασασθαι φοβερωτερους· ἀλλ' ὅτω συμφερει γενεσθαι. τουτο και ὑμας λαμπροτερους ποιει, τουτο δε τιμιον ἐμοι ἀνακηρυττει δυναμιν. τουτο και προς Παυλον ἐλεγεν· Ἀρκει σοι ἡ χαρις μου· ἡ γαρ δυναμις μου ἐν ἀσθενεια τελειουται. ἐγω τοινυν ὅτως ὑμας ἐποιησα εἰ. ὁταν γαρ εἰπη· ἐγω ἀποστελλω ὑμας ὡς προβατα, τουτο ἀγνοειται· μη τοινυν καταπεσητε. οἶδα γαρ, οἶδα σαφως ὅτι ταυτη μαλιστα πασιν ἀχειρωτοι ἐσεσθε. Εἶτα, ἵνα τι και πρὸς ἑαυτον εἰσφερωσι, δε μη παντα της χαριτος εἰ δοκη, μηδε εἰκη και ματην στεφανουσθαι νομιζωνται, φησι· γινεσθε οὖν φρονιμοι ὡς οἱ ὄφεις, και ἀκεραιοι ὡς αἱ περιστεραι. και τι δυναται δυο ἡμετερα φρονησις, φησιν, ἐν τοσουτοις κινδυνοις; πως γαρ ὅλως δυνησομεθα φρονησιν ἐχειν, τοσουτων περιδυλουμενοι κυμασι; ὅσον * δυο γλωττας φρονιμον προβατον, μεταξυ λυκων ὂν και λυκων τοσουτων, τι δυνησεται πλεον αὐδασαι; ὅσον δυο γλωττας "ἀκεραιος ἡ περιστερα, τι ὠφελησει τοσουτων ὀπτικειμενων ἱερακων; ὁτι μεν γαρ των ἀληθων, δηλον· ὁτι γε ὑμων, και "μεγαλα. ἀλλ' ἰδωμεν ποιαν φρονησιν ἐνταυθα αὐτους ἀπαιτει. τουτο τοι ὄφεως φησι. καθαπερ γαρ σκηνος και πλοια περιει), και αὐτη δει το σωμα ἀποτινηναι, ὑ σφοδρα δυτεχεται αὐτη, ὥστε τουτο κεφαλιον ἁρπαγησαι· ὅτω δε σύ, φησι, πλειω της πιστεως πλοια σκεδασον, και χρηματα, και το σωμα, και αὐτουτο τουτο ψυχιον σκεδασαι δει. "ἐκεινη γαρ ἡ κεφαλη και ριζα· και ἐκεινης ὀρθεισης και παντα ἀπολεσης, ἁπλοια αὐακτησῃ πάλιν μετ' πλειονος της περιφανειας. διο δη τουτο ὅτε ἁπλοιον ἵνα εἰ δε ἀφελη προσεταξεν, ὅτε φρονιμον μονον, ἀλλ' ἐκεραστον ταυτα ἀμφοτερα, ὥστε γενεσθαι αὐτα ἀρετιον· τουτο μεν φρονησιν τον ὄφεως, εἰς το μη πληγεσθαι ἐν τοις κακοις, προβαλεσθαι· το δε ἀκεραιον της περιστερας, εἰς το μη ἀμυναασθαι την ἀδικουσας, μηδε τιμωρεισθαι τους ἐπιβουλευοντας. ἐπει πάλιν δηλον ὀφελος της φρονησεως, ἐν μη ἔστο προσῃ. Τι τοινυν τουτων δυτονατερον γενοιτ' ἂν τουτων ὑπαγματων; ου γαρ ἡρκει το παθειν κακως; ουχι, φησιν· ἀλλ' ὅδε ἀγωνιστην σοι συγχωρω (τουτο γαρ ὅδιν ἡ περιφερεια) ὡσπερ ἐν εἰ τις καλαμον εἰς πυρ ἐμβαλων κελευοι μη καιεσθαι μηδε σπενυσαι το πυρ. ἀλλα μη θορυβωμεθα. και γαρ ὀξεβη ταυτα δε τελος ἐλαβε, και ἐπ' αὐτων ἐδειξεν τουτων ἐργων, και φρονιμοι γεγονασιν ὡς οἱ ὄφεις, και ἀκεραιοι ὡς αἱ περιστεραι, ὄντες φυσεως, ἀλλα της αὐτης ἡμιν. μη τοινυν ἀδυνατα νομιζέτω τις εἰ ταυτα ἐπιταγματα. προς γαρ τους ἀλλους ἁπαντων αὐτος οἶδε τουτων φυσιν· οἶδεν ὅτι θρασυτης, ου θρασυτητι, ἀλλ' ὑπηκοια σβεννυσι). Εἰ δε ὅτι των προβατων τουτο γινομενον ἰδειν ἐθελοις, ἀναγνωθι των πραξεων των ἀποστολων το βιβλιον, και ὁταν ποσακις τον δημου των Ιουδαιων κατεξανασταντος και τους ὀδοντας τριζοντος, τουτο προιεμενον ὅτοι μιμουμενοι, και μετ' ἐκεινων θυμον, ἐσβεσε τουτο μανιαν, ἐξελυσαν τουτο ὁρμην. ὅπου γαρ ἐλεγεν· οὐ παιδαγελια προσηκει λαμβανειν ὑμιν μη λαλειν ἐν τῳ ὀνοματι τουτῳ; και τοι μυρια δυναμενοι θαυματουργειν, πραττειν μεν ὅδεν ὅτε

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ὅτε εἶπον οὔτε ἐποίησαν, μὴ τραότητος ὃ πάσης ἀπελαυνιῶντε λέγοντες· Εἰ δίκαιόν ἐστιν ὑμῶν ἀκούειν μᾶλλον ἢ τοῦ Θεοῦ, κρίνατε. Εἶδες δὲ ἀκέραιον τῆς ἀθεότητος; βλέπε καὶ τὸ φρόνιμον τοῦ ὄφεως. ἡμᾶς γὰρ δυναμένους οἰδαμοῦ καὶ ἀκούσαμεν μὴ λαλεῖν. Εἶδες πῶς πανταχόθεν ἠκριβωμένοις εἶναι χρὴ, ὥστε "μὴ ἐκτὸς κινδύνων ταπεινοῦσθαι," μηδὲ ὑπὸ θυμοῦ πεῖρα ξύνεσθαι; δέχε τοῦτο καὶ ἔλεγε·

17 Προσέχετε ἀπὸ τῶν ἀνθρώπων. παραδώσουσι γὰρ ὑμᾶς εἰς συνέδρια, καὶ ἐν ταῖς συναγωγαῖς αὐτῶν μαστιγώσουσιν ὑμᾶς,

18 Καὶ ἐπὶ ἡγεμόνας καὶ βασιλεῖς ἀχθήσεσθε ἕνεκεν ἐμοῦ, εἰς μαρτύριον αὐτοῖς καὶ τοῖς ἔθνεσι. Πάλιν νήφειν αὐτοὺς παραινεῖ, πανταχοῦ τὸ μὴ παθεῖν κακῶς αὐτοῖς διδοὺς, ὃ ἂν ποιῶσιν ἕτεροι ἀφιεὶς, ἵνα μάθῃς ὅτι ἐν τῷ παθεῖν κακῶς ἡ νίκη, καὶ τὰ λαμπρὰ ἐντεῦθεν ἔσηκε θρόπαια. ὅταν γὰρ εἴπῃ, πυκλύετε καὶ ὑμεῖς, ἐξ αὐτίσασθε τοῖς ἐπηρεάζειν βουλομένοις ὑμῖν, ἀλλ' ὅτι τὰ ἔσχατα πείσεσθε μόνον. βαβαί, πόσον τοῦ λέγοντος ἡ δύναμις; πόσον τῶν ἀκουόντων ἡ φιλοσοφία; ἐξ γὰρ σφόδρα ἄξιον θαυμάζειν, πῶς οὐκ εὐτέως ἀπεπήδησαν τοῦτα ἀκούοντες, ἀνθρωποι φοφοδεεῖς, καὶ τὸν λίμνιον ὄντως ἐκφυγόντες ἐκείνῳ τῷ λιμνίῳ ἠλίθιον· πῶς γὰρ οὐκ ἐνενόησαν καὶ πρὸς ἑαυτοὺς εἶπον, καὶ πρὸ φθάσωμεν λοιπὸν; τὰ δικαστήρια καθ' ἡμῶν· ⓐ βασιλεῖς καθ' ἡμῶν· ⓐ ἡγεμόνες*, αἱ συναγωγαὶ τῶν Ιουδαίων· ⓐ δῆμοι τῶν ἑλλήνων, ἀρχόντες καὶ ἀρχόμενοι (συνέβαινε γὰρ οὐχὶ μόνον τοῖς Παλαιστίνοις αὐτοῖς καὶ ἐν αὐτῇ κακὰ παθεῖν φανερῶς, ἀλλὰ ἐξ τοῖς τῆς οἰκουμένης πρόωθεν πολέμους, εἰπών· "ὅτι βασιλεῖς ἀχθήσεσθε καὶ ἡγεμόνας, δείκνυς, ὅτι ἐξ τοῖς ἔθνεσι μετὰ ταῦτα κήρυκας αὐτοὺς ἔμελλε πέμπειν) τὴν οἰκουμένην ἡμῖν ὅλην πολέμωσας, τοὺς τὸν γλυκὺν οἰκειωθέντας ἀπώλεσας ὥπλισας καθ' ἡμῶν, δῆμους, τυράννους, βασιλεῖς. καὶ ὃ ἐξῆς ἦν πολὺ φεικωδέστερον, ὅταν καὶ ἀδελφοκτόνοι καὶ παιδοκτόνοι καὶ πατροκτόνοι ἐπὶ ἡμᾶς μέλλωσιν ⓐ δυσθεραπευτοι γίνεσθαι. παραδώσει γάρ, φησιν, ἀδελφὸς ἀδελφὸν εἰς θάνατον, καὶ πατὴρ τέκνον, καὶ ἐπαναστήσονται τέκνα ἐπὶ γονεῖς, καὶ θανατώσουσιν αὐτούς. πῶς οὖν ⓐ λοιποί, φησι, πιστεύσουσιν, ὅταν ἴδωσι καὶ ἡμᾶς παῖδας ἐκ πατέρων δυσαγωγήτους, καὶ ἀδελφοὺς ἐκ ἀδελφῶν, καὶ μασμένους πρὸς πόντα πληγώματα; ὃ γὰρ ὡς δαίμονας ἀλάστορας, ὃ χ ὡς ἀναγκαίς καὶ τῆς οἰκουμένης λυμεῶνας ἀπελάσουσιν ἡμᾶς πανταχόθεν, ἀμοῦ συγγενικῶν τῶν γλυκὺν πληγώματα ὁρῶντες καὶ φόνων τοιούτων; καλήν γε τὴν εἰρήνην εἰς τὰς οἰκίας εἰσαγόντες δώσομεν, τοσούτων αὐτὰς ἐμπιπλῶντες σφαγῶν. Εἰ γὰρ πολλοί τινες ἦμεν, καὶ μὴ δώδεκα· εἰ γὰρ μὴ ἰδιῶται καὶ ἀγράμματοι, ἀλλὰ σοφοὶ καὶ ῥήτορες καὶ δεινοὶ λέγειν· μᾶλλον δὲ εἰ βασιλεῖς αὐτοὶ, ἐξ στρατόπεδα ἔχοντες καὶ χρημάτων πλείστων· πῶς ἂν ἰσχύσαιμεν πεῖσαί τινας, ἐμφυλίους πολέμους καὶ ἀπωλείας, καὶ ἐμφυλίων πολλῷ χαλεπωτέρους; καὶ γὰρ τῆς ἡμετέρας σωτηρίας καταφρονήσωμεν, τίς ἡμῖν τῶν ἄλλων πείσεται; ἀλλ' οὐδὲν τούτων ἦτε ἐνενόησαν, ἦτε εἶπον, ἦτε ἐθαύμασαν ἀπλῶς τὸν ὑπαγμόν, ἀλλ' εἶχον καὶ ἐπείθοντο μόνον. τοῦτο δὲ ἦν τῆς αὐτοῦ ἀρετῆς [ἐκεῖνο μόνον,] ἀλλὰ [καὶ] τῆς τοῦ διδασκάλου σοφίας. ὅρα γὰρ πῶς ἑκάστῳ τῶν δεινῶν προεθεράπευσε. καὶ ὅτι [μὲν] τῶν μὴ δεχομένων αὐτοὺς ἔλεγεν, ἀνεκτότερον ἔσαι γῇ Σοδόμων καὶ Γομόρρας ἐν ἡμέρᾳ κρίσεως, ἢ τῇ πόλει ἐκείνῃ. καὶ σταυρὸν πάλιν εἶπεν, ὅτι ἡγεμόνας καὶ βασιλεῖς ἀχθήσεσθε, ἐπήγαγεν, ἕνεκεν ἐμοῦ, εἰς μαρτύριον αὐτοῖς καὶ τοῖς ἔθνεσιν. οὐ μικρὰ ὃ αὐτὰ παρεκάλεσε, τὸ [ἐξ] ἀφ' ἑαυτοῦ τοῦτο πάσχειν, καὶ εἰς ἔλεγχον ἐκείνων. ὁ γὰρ Θεὸς, κἂν μηδεὶς προσέχῃ, τὰ αὐτοῦ πανταχοῦ φαίνεται ποιῶν. ταῦτα ὃ αὐτοὺς παρεκάλει, οὐκ ὄντας τῆς ἑτέρων ἐπιθυμοῦντας τιμωρίας, ἀλλ' ὄντας θαρρεῖν εἶχον, ὅτι πανταχοῦ αὐτὸν ἕξουσι συμπαρόντα, καὶ προειπόντα καὶ προειδότα ταῦτα, καὶ ὅτι οὐχ ὡς πονηροὶ καὶ λυμεῶνες ταῦτα πείσονται. μετὰ δὲ τούτων, καὶ μικρῶν καὶ ἑτέρων παρεθάρρυνσιν αὐτοῖς παρεκάλεσιν, λέγων·

19 Οταν

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

19 Οταν δὲ παραδιδῶσιν ὑμᾶς, μὴ μεριμνήσητε πῶς, ἢ τί λαλήσητε. δοθήσεται γὰρ ὑμῖν ἐν ἐκείνῃ τῇ ὥρᾳ τί λαλήσετε.

20 Οὐ γὰρ ὑμεῖς ἐστε οἱ λαλοῦντες, ἀλλὰ τὸ πνεῦμα τοῦ πατρὸς ὑμῶν τὸ λαλοῦν ἐν ὑμῖν. Ινα γὰρ μὴ λέγωσι, πῶς πεῖσαι δυνησόμεθα τοιούτων γινομένων παράγμασι; καὶ πρὸς τῆς ἀπολογίας κελεύει θαρρεῖν. καὶ ἀλλαχοῦ μέν φησιν, ἐγὼ δώσω ὑμῖν στόμα καὶ σοφίαν· ἐνταῦθα δέ, τὸ πνεῦμα τοῦ πατρὸς ὑμῶν ὅστι τὸ λαλοῦν ἐν ὑμῖν, εἰς τὸ τῶν προφητῶν αὐτοῖς δύναγον ἀξίωμα. διὰ τοῦτο ὅτε εἶπε τὴν δυσαμιν τὴν δεδομένην, ὅτε καὶ τὰ δεινὰ ἐπήγαγε, τοὺς φόνους καὶ τὰς σφαγάς.

21 Παραδώσει γὰρ ἀδελφὸς ἀδελφόν, φησιν, εἰς θάνατον, καὶ πατὴρ τέκνον· καὶ ἀναστήσονται τέκνα ἐπὶ γονεῖς, καὶ θανατώσουσιν αὐτούς.

Καὶ οὐδὲ ἐνταῦθα ἔστη, ἀλλὰ καὶ ὃ πολὺ φεικωδέστερον προσέθηκε καὶ πέτρα ἰχθὺν ἁλιεύσασα,

22 Οτι καὶ ἔσεσθε μισούμενοι ὑπὸ πάντων. Καὶ ἐνταῦθα ἦ πάλιν ὅτι θύραις ἡ προκάλησις. Διὰ τὸ ὄνομά μου Γάρ, φησι, ταῦτα πείσεσθε. καὶ μετὰ τοῦτο πάλιν ἕτερον· Ο δὲ ὑπομείνας εἰς τέλος, οὗτος σωθήσεται.

Ταῦτα δὲ καὶ ἄλλως ἰχθὺν ἰδοὺ" διορθῶσαι αὐτῶν τὰ φρονήματα, εἶτε τοσαύτη τοῦ κηρύγματος ἔμελλεν ἀνάπλεσθαι [ἡ] δυνάμις, ὡς φύσιν ἀπιμάζεσθαι, καὶ συγγενεῖαν ἐκβάλλεσθαι, καὶ προτιμᾶσθαι πάντων λόγον," καὶ κρότος πάντα ἐλαύνοντα. Εἰ γὰρ φύσεως τυραννὶς οὐκ ἰσχύει προὸς τὰ λεγόμενα δύπις ἰδοὺ, ἀλλὰ σβεννύεται καὶ καταπατεῖται, τί ἕτερον" ὑμῶν προσδοκᾶσθαι δυνήσεται; ὅ μὲν ὅτι ταῦτα ἔσαι, ἐν ἀδείᾳ" ὑμῖν ἔσαι ὁ βίος, ἀλλὰ καὶ κοινοὶ ἕξεται πολεμίους ἐξ ἐχθροὺς τοὺς τὴν οἰκουμένην οἰκοῦντας. ποῦ νῦν Πλάτων; ποῦ Πυθαγόρας; ποῦ τῶν Στωϊκῶν ὁ ὅρμαθός; καὶ γὰρ πολλῆς ἀπολαύσας σκιᾶς ὑμῆς, ὅτως ἠλέγχετο, ὡς καὶ ἀπεμπολημένους, ἐδὲ μηδὲν ὧν ἐβούλετο κατορθῶσαι, οὐδὲ" ἐφ' ἑνός τυραννὸς." ὁ δὲ τοὺς μαθητὰς προδοὺς, ἐλεεινῶς βίον κατέλυσε. καὶ τὰ Κυνικὰ καθάρματα, ὥσπερ ὄναρ καὶ σκιὰ* παρῆλθον. καίτοιγε οὐδέποτε τοιοῦτον οὐδὲν [ἐν] ἐκείνοις ζωόπεσεν, ἀλλὰ καὶ λαμπροὶ ἦσαν τὴν φιλοσοφίαν τὴν ἔξωθεν εἰσαγόμενοι, ἐδὲ τὰς ἐπισολὰς ἀνέθεσαν δημοσίᾳ Αθηναῖοι τὰς Πλάτωνος προδὲ Δίωνος περιφανείσας, καὶ ἐν ἀνέσει πάντα διῆγεν χρόνον, καὶ χρήμασιν ἐπλούτουν οὐκ ὀλίγοις. ὅτω γοῦν ὁ μὲν Αρίστιππος πόρνας ἠγόραζε πολυτελεῖς· ὁ δὲ Διογένης ἐγράφεν, ὅ πάντα κλῆρον καταλιμπάνων· ὁ δὲ τῶν μαθητῶν γεφυρωσάντων ἑαυτοὺς, δύωθεν ἐβάδιζε· τί δὲ Σινωπέα φασὶ καὶ δημοσίᾳ ἀδημονῆν ὅτι τῆς ἀγορᾶς. Ταῦτα γὰρ αὐτῶν τὰ σεμνά. Αλλ' οὐδὲν τοιοῦτον ἐνταῦθα, ἀλλ' ὅπιτεταμμένη σωφροσυνὴ καὶ κοσμιότης ἠκριβωμένη, καὶ πόλεμος προὸς τὴν οἰκουμένην ἅπασαν ὑπὲρ τῆς ἀληθείας καὶ τῆς εὐσεβείας, καὶ ὃ καθ' ἑκάστην σφάττεται τὴν ἡμέραν, ἐδὲ μετὰ ταῦτα τὰ ἔπαθλα τὰ λαμπρά. Αλλ' εἰσί τινες, φησι, καὶ στρατηγικοὶ παρ' αὐτοῖς· οἷς, ὁ Θεμιστοκλῆς, ὁ Περικλῆς. Αλλὰ καὶ ταῦτα παίδων ἀθύρματα προὸς τὰ τῶν ἀληθέων. Τί γὰρ ἂν ἔχοις εἰπεῖν; ὅτι οὐκ Αθηναίους ἔπεισεν ὁπλίσαι τῶν πλοίων, τὸν Ξέρξου μετὰ τῆς Ελλάδος ἐλαύνοντος; ἐνταῦθα δὲ οὐ Ξέρξου ἐλαύνοντος, ἀλλὰ τὸν Διαβόλου μετὰ τῶν οἰκουμένης ἁπάσης καὶ τῶν ἀπείρων δαιμόνων μετὰ τῶν δώδεκα τούτων" ὑπτιόντος, οὐκ ἐν ἑνὶ καιρῷ, ἀλλὰ διὰ παντὸς τοῦ βίου, προσεληλύοντος καὶ σκεδάτησαν· καὶ ὃ δὴ θαυμαστόν, οὐκ ἀνελόντες τοὺς ἐναντίους, ἀλλὰ μεταβαλόντες καὶ μεταρρυθμίσαντες. τοῦτο γὰρ μάλιστα διὰ παντὸς θαυμάζειν ἔπεισε, ὅτι οὐκ ἀνεῖλον οὐδὲ ἠφάνισαν τοὺς ὑπεναντιουμένους αὐτοῖς· ἀλλὰ δαιμόνων λαβόντες ἴσους, ἀγγέλων ἐποίησαν ἐφαμίλλους, τὴν μὲν ἀνθρωπίνην φύσιν τῆς πονηρᾶς ταύτης ἐλευθερώσαντες τυραννίδος, οὐδὲ ἀλιτηρίους σκεύη καὶ πάντας ζωγρήσαντες δαίμονας, οὐκ μέσων ἀγορῶν καὶ οἰκιῶν, μᾶλλον δὲ αὐτῆς ἀπελάσαντες τῆς ἐρημίας.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ἐρημίας. καὶ μάρτυρες οὗτοι ἡ τῶν μοναχῶν χορός, οἳ κατεφύτευσαν τὴν ἔρημον, οὐ τὴν οἰκουμένην μόνον, ἀλλὰ καὶ τὴν ἀοίκητον ἐκκαθάραντες. καὶ ὃ δηλοῖ μᾶλλον, ὅτι οὐκ ἐκ παραταξέως ἴσης ταῦτα ἐποίουν· ἀλλ' ἐν τῇ πάλῃ κακῶς πολλὰ ἔπασχον. καὶ γὰρ εἶχον αὐτοὺς ἐν τῷ μέσῳ, δώδεκα δυσθέρπους ἰδιώτας, δέροντες, δεσμεύοντες, μαστίζοντες, ἀγόντες, ἀπειλοῦντες, καὶ οὐκ ἤμυνον ὑπισχνούμενοι· ἀλλ' ὥσπερ τὴν ἀκτῖνα δῆσαι ἀδύνατον, οὕτω καὶ τὴν γλῶτταν τὴν ἐκείνων. ὃ δὴ αἴτιον οὐκ ἀνδρεῖοι ἦσαν ἀληθῶς, ἀλλ' ἡ τοῦ πνεύματος δύναμις. ὅτω γοῦν καὶ ὁ Παῦλος ἐνίκησε τοὺς περὶ Ἀγρίππαν, καὶ τὴν κακίαν νικήσαντα πολλὰς δυσθέρπους Νέρωνα. Ὁ γὰρ Κύριός μοι πρέσβυς, φησί, καὶ ἐνεδυνάμωσέ με, καὶ ἔρρυσατό με ἐκ στόματος λέοντος. σὺ δὲ καὶ αὐτοὺς θαύμαζε, πῶς ἀκούσαντες, μὴ μεμνήσῃ, καὶ ὑπίσχυσαν καὶ κατεδέξαντο, καὶ οὐδεὶς αὐτοὺς τῶν φοβερῶν ἐξέπληξεν. Εἰ δὲ λέγοις, ὅτι ἱκανοὺς αὐτοῖς δέδωκε παράκλησιν, τὴν ἐλπίδα, ὅτι ὁ πνεῦμα τὰ παρὰ ὑμῶν ἔσαι ὁ λαλῶν, καὶ δι' τοῦτο μάλιστα ἐκπλήττομαι αὐτούς, ὅτι οὐκ ἀμφέβαλλον οὐδὲ ἐζήτησαν ἀπαλλαγὴν τῶν δεινῶν· καὶ ταῦτα δύο, οὐ τεῖα ἔτη μέλλοντες ταῦτα πάσχειν, ἀλλὰ παρὰ πάντα τὸν βίον. τὸ γὰρ ἐλπεῖν, ὁ ὑπομείνας εἰς τέλος, οὗτος σωθήσεται, τοῦτο ἔστιν ἀμνημονεύειν. βούλεται γὰρ μὴ τὰ πρὸς αὐτὸν μόνον ἐλπίζεσθαι, ἀλλὰ καὶ πρὸς αὐτῶν γίνεσθαι τὰ κατορθώματα. σκόπει γοῦν δίωξιν, πῶς τὰ μὲν αὐτὸν, τὰ δὲ τῶν μαθητῶν γίνεται. ὃ μὲν γὰρ σημεῖα ποιεῖν, αὐτός· ὃ δὲ μὴ κλῆσαι μηδὲν, ἐκείνων. πάλιν, ὃ τὰ οἰκίας δοῦναι πάσας, τῆς αὐτοῦ γνώμης· ὃ δὲ μηδὲν πλέον τῆς χρείας ἀπαιτῆσαι, τῆς αὐτῶν φιλοσοφίας. ἄξιος γὰρ ὁ ἐργάτης, φησί, τῆς μισθοῦ αὐτοῦ. ὃ τὸν εἰρωνίαν χαλάσαι, τῆς τοῦ Θεοῦ δωρεᾶς· τὸ δὲ τοὺς ἀξίους βαπτίζειν, καὶ μὴ πρὸς πόλεις ἁπλῶς εἰσιέναι, τῆς αὐτῶν ἐγκρατείας. πάλιν, ὃ κολάζειν τοὺς μὴ δεχομένους αὐτούς, αὐτός· τὸ δὲ μετ' ἐπιεικείας διαχωρεῖν ἐκ τόπων, μὴ λοιδορουμένους μηδὲ ὑβρίζοντας, τῆς τῶν ἀποστόλων ἡμῶν πραότητος. τὸ δοῦναι πνεῦμα καὶ μὴ ποιῆσαι μεμνῆσθαι, τοῦ πέμποντος ἰδεῖν· τὸ δὲ ὡς πρέπει γίνεσθαι καὶ πρέσβεις, καὶ φέρειν πόνους γενναίως, τῆς τούτων βουλῆς καὶ ζωῆς. τὸ μισεῖσθαι, καὶ μὴ καταπίπτειν καὶ τὸ ὑπομένειν, αὐτῶν· τὸ ὑπομείναντας σῶσαι, τοῦ πέμποντος. διὰ καὶ ἔλεγεν· ὁ [ὃ] ὑπομείνας εἰς τέλος, οὗτος σωθήσεται. ἐπεὶ γὰρ εἰώθασιν οἱ πολλοὶ, ἐν μὲν τοῖς πρόσθεν ἐν σφοδροὶ, μὴ δὲ ταῦτα ἐκλύεσθαι, διὰ τοῦτό φησιν, ὅτι τὸ τέλος ἐπιζητῶ. Τί γὰρ ὄφελος πέρματος, πολλὰ μὲν τὴν ἀρχὴν βλαστήσαντος, μικρὸν δὲ ὕστερον μαραινομένου; διὰ τοῦτο διὰ μακροθυμίαν τὴν ὑπομονὴν πρὸς αὐτὸν ἀπαιτεῖ. ἵνα γὰρ μή τις λέγῃ ὅτι τὸ πρῶτον αὐτὸς ἐποίησε, καὶ θαυμαστὸν οὐδὲν, τοιούτους ἐκείνους γενέσθαι ὄντας πάσχοντας φορτικοὺς, διὰ τοῦτό φησιν αὐτοῖς, ὅτι καὶ τῆς ὑπομονῆς ὑμῶν χρεία. κἂν γὰρ τῶν πρώτων ἄξαρπάσω κινδύνων, ἑτέροις χαλεπωτέροις τηρῶ, καὶ μετ' ἐκείνους πάλιν ἑτέροι διαδέξονται· καὶ οὐ ζήσεσθε βασιλευόμενοι, ἕως ἂν ἐμπνέητε. τοῦτο γὰρ νίκησαν ἐκείνων ὁ ὑπομείνας εἰς τέλος, οὗτος σωθήσεται. Διὰ δὴ τοῦτο καὶ εἰπών, μὴ μεμνήσησθε, ἵνα λαλήσητε, ἀλλαχοῦ φησιν· ἕτοιμοι γίνεσθε πρὸς ἀπολογίαν παντὶ τῷ αἰτοῦντι ὑμᾶς λόγον περὶ τῆς ἐν ὑμῖν ἐλπίδος. ὅταν μὲν γὰρ μεταξὺ φίλων ὁ ἀγὼν ᾖ, κελεύει καὶ ἡμᾶς μεμνᾶσθαι· ὅταν δὲ δικαστήριον φοβερὸν, καὶ δῆμοι μανιώδεις, καὶ φόβος πανταχόθεν, τὸν περὶ αὐτοῦ πρέχει ῥοπὸν, ὥστε θαρρῆσαι καὶ φθέγξασθαι, καὶ μὴ καταπλαγῆναι, μηδὲ προδοῦναι τὰ δίκαια. καὶ γὰρ πολὺ μέγα ἰδεῖν, αὐθέντην τοῦ λίμνας καὶ θαλάσσης καὶ δέρματα καὶ τελωνείαν, τυράννων καθημένων, καὶ σατραπῶν πρώτων καὶ δορυφόρων, καὶ τῶν ξιφῶν γεγυμνωμένων, καὶ πάντων μετ' ἐκείνων ἑστώτων, εἰσελθόντα μόνον, δεδεμένον, κάτω κύπτοντα, δυνηθῆναι δέρειν τόμια. καὶ γὰρ οὐδὲ λόγου οὐδὲ ἀπολογίας αὐτοῖς μετεδίδοσαν τῶν δογμάτων ἕνεκεν, ἀλλ' ὡς κοινοὺς τῆς οἰκουμένης λυμεῶνας, οὕτως ἀπετυμπανίζειν ἐπεχείρουν. ὁ γὰρ τὴν οἰκουμένην, φησὶν, ἀνάστατον σαντες, ὅτι καὶ ἐνθάδε πάρεισι.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

παρεισι. καὶ πάλιν· ἐνδυτία τοῖς Καίσαρος δόγμασι" προσβύουσι, λέγοντες εἶ) βασιλέα Χριστὸν Ἰησοῦν. καὶ πανταχοῦ τὰ δικαστήρια προσκατείληπτο ταῖς τοιαύταις ὑπονοίαις, καὶ πολλῆς ἐδεῖ τῆς ἀνώθεν ῥοπῆς εἰς τὸ ἀμφότερα δεῖξαι, καὶ τὸ δόγμα ἀληθὲς ὄν, ὅπερ ἐπροσέβυον, καὶ ὅτι δὲ λυμαίνονται τοῖς κοινοῖς νόμοις, καὶ μήτε ἀπουδάζοντας εἰπεῖν περὶ τοῦ δόγματος, ἐμπεσεῖν εἰς ὑπόνοιαν τῆς τῶν νόμων διαφθορᾶς, μηδ' αὖ πάλιν ἀπουδάζοντας δεῖξαι, ὅτι οὐκ ἀνατρέπουσι τὴν κοινὴν πολιτείαν, ἀλλὰ φυλάττουσι τὴν τῶν δογμάτων ἀκρίβειαν. ἅπερ ἅπαντα ὀφείλει καὶ τοῖς Πέτρῳ καὶ τοῖς Παύλῳ καὶ τοῖς λοιποῖς ἅπασι μετὰ τῆς προπούσης εὐσεβείας κατορθωθῆναι. οὐ γὰρ ὡς ἔσασαι καὶ νεωτεροποιοὶ καὶ καινοτόμοι πάντα χρὴ τῆς οἰκουμένης ἀνεκαλοῦντο. ἀλλ' ὅμως καὶ ταύτην ἀπεκρούσαντο τὴν ὑπόνοιαν, καὶ τὴν ἐνδυτίαν ἑαυτοῖς περιέθηκαν, ὡς σωτῆρες καὶ κηδεμόνες καὶ εὐεργέται πᾶσι δι' ἅπασιν ἀναπηρυπόμενοι. ταῦτα δὲ πάντα διὰ τῆς πολλῆς κατορθοῦν ὑπομονῆς. διὸ καὶ Παῦλος ἔλεγε· καθ' ἡμέραν ἀποθνήσκω, καὶ μέχρι τέλους κινδυνεύων διέμενε.

ΗΘΙΚΟΝ Τίνος οὖν ἂν εἴημεν ἄξιοι, τοσαῦτα ἔχοντες ὑπο δείγματα, καὶ ἐν εἰρήνῃ μαλακιζόμενοι καὶ καταπίπτοντες; οὐδενὸς γὰρ πολεμοῦντος, σφαττόμεθα· οὐδενὸς διώκοντος, ὑπολυόμεθα· ἐν εἰρήνῃ σωθῆναι κελεύομεθα, καὶ οὐδὲ τοῦτο δυνάμεθα. καὶ κεῖνοι μὲν, τῆς οἰκουμένης κρατοῦντες, καὶ τῷ πλῷ ἅπασαν τὴν πυρᾶς ἀναπομπήν, εἰσιόντες ἔνδοθεν, ὑπὸ μέσης ἥρπαζον τῆς φλογὸς οὐδὲ ἐμπιπραμένους· σὺ δὲ οὐδὲ σαυτὸν δύναμαι διασῶσαι. τίς οὖν ἡμῖν ἔσαι παρρησία; ποία συγγνώμη; ἀ μάστιγες, ἀ δεσμωτήρια, οὐκ ἀρχόντες, ἀ σιωπαγωγαί, οὐκ ἄλλο τι τῶν τοιούτων ἐπίκειται, ἀλλὰ καὶ τὸ ὠμότατον ἅπαν· ἡμεῖς ἀρχόμεθα καὶ κρατούμεθα. οὐ γὰρ βασιλεὺς βύσσου, καὶ λιμοὶ πολλαχοῦ χειροήθεις, καὶ παρρησίαν καὶ δόξαν, καὶ ἀνέσεις· οὐ γὰρ ἔστι ταῦτα. ἀλλ' ὀκνοῦμεν ἅπαντα πάσχειν καθ' ἡμέραν, καὶ διδάσκαλοι καὶ μαθηταί, οὐ μείζονες μέλωπας ἔχοντες καὶ σιωπῆς στίγματα, τῶν ἐν παιδείσῳ δαιζόντων μᾶλλον ἐπεύφων· ἡμεῖς δὲ οὐδὲ ὄναρ τοιοῦτόν τι ὑπομείναντες, κατὰ πάντος ἐσμεν μαλακώτεροι. ἀλλ' ὀκνοῦσι, φησιν, ἕτερα μαρτύρεται. διὰ τοῦτο γοῦν οὐκ ἐμαστιγοῦντο; διὰ τοῦτο οὐκ ἠλαύνοντο; καὶ γὰρ τοῦτο ἔστι τὸ παράδοξον, ὅτι οὐ παρὰ τῶν βυρσοτανθρώπων πολλάκις τοιαῦτα ἔπασχον· καὶ οὐδὲ ὅτως ἐθορυβοῦντο, καὶ διὰ ἀγαθῶν ἀπολαμβάνοντες. σὺ δὲ, διὰ τίνα βύρσοτόμον μικρὸν ἕνα βύρσεσιν, εἶτα λυπεῖσθαι ἕνος ἀπολαύσης, θορυβεῖ, ταράττῃ, καὶ ὅτι τῷ γεγωνηκότι μετάνοιας. εἰ τοίνυν ἤμελλον (ὁ μὴ γένοιτο, μηδὲ συμβαίη ποτὲ) ἡνέσθαι πόλεμον ἐκκλησιῶν καὶ διωγμόν, ἐννόησον πόσος ἔσαι ὁ γέλως, πόσα τὰ ὀνείδη· καὶ μάλα εἰκότως. ὅταν γὰρ ἐν τῇ παλαίστρᾳ μηδεὶς γυμνάζηται, πῶς ἐν τοῖς ἀγῶσιν ἔσαι λαμπρός; ποῖος γὰρ ἀθλητὴς, παιδοτριβῶν οὐκ εἰδώς, δυνήσεται, καλουμένων τῶν Ὀλυμπιακῶν ἀγώνων, μέγα τι καὶ γλυκὺ ὑπιδεῖξασθαι τοῖς θεωμένοις; ἢ γὰρ ἐγείρω καθ' ἑκάστην ἡμέραν παλαίειν ἡμᾶς καὶ πυκτεύειν καὶ τρέχειν; οὐχ ὁρᾶτε οὐδὲ λεγομένους πενταέθλους, ἐπειδὴ μηδένα ἔχωσι θεωμένοις δυναγωνίσασθαι, πῶς ὑπολαμβάνουσι ἀμέμπτους γεμίσαντες [πολλῆς] καὶ κρεμάσαντες, οὐκ τῷ ἰσχνῷ γυμνάζοισιν ἅπασαν; ἆ ὑπὸ τῶν νεώτερα, ἐν τοῖς τῶν ἑτέρων σώμασι μαθητῶσι τοῖς πρὸς οὐδὲν ἐλθροὺς μάχεσθαι; τούτους καὶ σὺ ζήλωσον, καὶ μάθε τῆς φιλοσοφίας τὰ παλαίσματα. καὶ γὰρ εἰς θυμὸν πολλοὶ προέρχονται, καὶ εἰς ὑπερθυμίαν ἐμβάλλουσι, καὶ πολλῷ ἀνάπαλοισι τῷ φλέγματι. ἴδωμεν τοίνυν τῶν παθῶν, φέρε" γυμνάσωμεν τὰς τῶν δρόμων ὁδούσας, ἵνα καὶ τὰς τοῦ σώματος ἐνέγκωμεν. καὶ γὰρ ὁ μακάριος Ἰώβ, εἰ μὴ καλῶς ἐν γυμνασάμενος τοῖς τῶν ἀγώνων, οὐκ ἂν ὅτω λαμπρὸς ὑπὸ τῶν ἀγώνων ἐλαμπεν· εἰ μὴ μεμελετήκει πάσης" ἀθυμίας ἐκτὸς εἶ), εἶπεν ἄν τι τολμηρὸν τῶν παίδων ἀποθανόντων. νυνὶ δὲ τοῖς πάντα ἔσι τὰ παλαίσματα, τοῖς χρημάτων ἀπώλειαν καὶ εὐτεκνίας τοσαύτης ἀφανισμὸν, τοῖς παίδων ἀποβολὴν,

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ἀποβολιῶ, τοὺς γυναικὸς συμπάθειαν, τοὺς σώματος μάσιγας, τοὺς ὀνείδη φίλων, τοὺς λοιδορίας οἰκετῶν. Εἰ γὰρ θέλεις καὶ τὰ γυμνάσια αὐτὰ ἰδεῖν, ἄκουσον αὐτὰ λέγοντος πῶς κατεφρόνει χρημάτων· Εἰ γὰρ ἐβουλόμην, φησὶ, πολλοῦ πλούτου μοι γλυκομήλου, εἰ ἔτα- Ιωβ λα. κε.
ξα χρυσίον εἰς χοῦν, εἰ λίθῳ πολυτελεῖ ἐπεποίθειν. διὰ τοῦτο "οὐδὲ ἁρπαγῶν αὐ-
τῶν ἐθορυβήθη, ὅτι καὶ πρόσοντων οὐκ ἐπεθύμει. ἄκουσον πῶς καὶ τοὺς παῖδας διώκει· καταμαλακιζόμενος τοῦτό γε δέον, ὥσπερ ἡμεῖς, ἀλλὰ πᾶσαν ἀκρίβειαν περὶ αὐτῶν ἁπάντων. ὁ γὰρ καὶ τῶν ἀδήλων φύσιν διαφέρων, ἐννόησον πῶς οὐκ ἀκριβὴς τῶν φανερῶν δικαστής. Εἰ γὰρ καὶ τοῦτο περὶ σωφροσύνης ἀγῶνας ἀκούσας βούλει, ἄκουσον αὐτοῦ λέγοντος· Διαθήκην διεθέμην τοῖς ὀφθαλμοῖς μου τοῦ μὴ κατανοῆσαι εἰς παρθένον· διὰ Ιωβ λα. α.
τοῦτο αὐτὸν ὁ κατέκλασεν ἡ γυνή. ἐφίλει μὲν γὰρ αὐτὴν καὶ περὶ τούτου· ἀλλ' ὅμως οὐδὲ ὅ μέτρον, ἀλλ' ὡς εἰκὸς γυναῖκα· ὅθεν μοι καὶ θαυμάσας ἔπεισι, πόθεν ἐπῆλθε τῇ διαβόλῳ εἰδότι αὐτοῦ τὰ γυμνάσια κινῆσαι τοῦτον ἀγῶνας. πόθεν οὖν ἐπῆλθε; πονηρόν ὄντι τὸ θηρίον, καὶ οὐδέποτε ἀπογινώσκει· ὃ μέγιστον ἡμῖν κατάκριμα γίνεται, ὅτι ἐκεῖνος μὲν οὐδέποτε ἡμῶν ἀ-
πελπίζει τὴν ἀπώλειαν, ἡμεῖς δὲ τὴν ἑαυτῶν ἀπογινώσκομεν σωτηρίαν. ἀλλὰ καὶ σώ-
ματος πήρωσιν καὶ λώβην σκέψει πῶς ἐμηχανᾶτο. ὅπερ γὰρ αὐτὸς "οὐδέπω τοιοῦτον ἐκαρτέμεινεν, ἀλλ' ἐν πλούτῳ καὶ πενίᾳ καὶ τῇ ἄλλῃ περιφανείᾳ διετέλεσε ζῶν, τὰς ἀλλοτρίας καθ' ἑκάστην ὠνειροπόλει συμφοράς. καὶ τοῦτο δηλοῖ ἔλεγε· Φόβος γάρ, οὗ ἐφοβούμην, ἦλ- Ιωβ γ. κε.
θέ μοι, καὶ οὗ ἐδεδοίκειν, ἐπῆλθέ μοι. καὶ πάλιν· Ἐγὼ γὰρ ὅτε πρωΐ ἀδυνάτῳ ἐκλαυσα, καὶ ἐστέναξα ἰδὼν ἄνδρα ἐν ἀνάγκαις. διὰ δὴ τοῦτο οὐδὲν αὐτὸν ἐθορύβει τῶν περιστατικῶν-
των τῶν μεγάλων ἐκείνων καὶ ἀφορήτων. μὴ γάρ μοι τὴν ἀπώλειαν "εἴπῃς τῶν χρημάτων, μηδὲ τὴν τῶν παίδων ἀφαίρεσιν, μηδὲ τὴν πληγὴν ἐκείνην τὴν ἀνίατον, μηδὲ τὴν τῆς γυναικὸς ἀπιθουλίαν· ἀλλὰ καὶ πολλῷ τούτων χαλεπώτερα. καὶ τί τούτων χαλεπώτερον, φησίν, ἔπαθεν ὁ Ἰώβ; διὰ τοῦτο τῆς ἰσοτιμίας οὐδὲν πλέον τούτων μανθάνομεν. ὅπερ καθύδο-
μεν, ὃ μανθάνομεν· ὡς ὅ γε μεμνημένος, καὶ ἐν μυρία εἰπεῖν καλῶς διερθρωμένος, πολλῷ
πλείονα τούτων ἐρεῖται. τὰ γὰρ χαλεπώτερα καὶ ἰσχυρὰ μείζονα "ἐνίοις δάκρυα, ἕτερα ἰῶ. καὶ τοῦτον, ὃς μηδὲν εἰδέναι τοῦ βασιλείας ἔρωτος καὶ ἀναστάσεως σαφές· ὅταν οὖν καὶ θρηνῶν ἔλεγεν· ὁ γὰρ εἰς ᾅδου ἀφανὴς ζήσομαι, ἵνα μακροθυμήσω. δεύτερον, ὃς πολλὰ ἑ-
αυτοῦ σωφρόνως καλῶς. τρίτον, ὃς μηδὲν σωφρόνως πονηρόν. τέταρτον, ὃς διὰ Θεοῦ νομίζειν ταῦτα ὑπομένειν· Εἰ γὰρ καὶ διὰ διαβόλου, καὶ τοῦτο ἰσχυρὸν ἰῶ αὐτὸν σκανδαλί-
σαι. πέμπτον, ὃς ἀκούων τῶν φίλων ὅτι κακίᾳ διαβαλλόντων αὐτόν· οὐκ ἄξια γάρ, φησίν, ὧν ἠλπίκατε μεμαστιγώσαι. ἕκτον, τὸ τὰς ἐν πονηρείᾳ ζώντας οὐ παύοντας ὁρᾶν καὶ ἐ-
πιβουλεύοντας αὐτῷ. ἕβδομον, τὸ μὴ ἔχειν εἰς ἕτερον ἰδεῖν τοιαῦτα πεποιθότα ποτέ. καὶ Εἰ βούλει μαθεῖν ἡλίκα ταῦτά ἐστιν, ἐννόησον τὰ παρόντα. Εἰ γὰρ νῦν βασιλείας ποσο-
δοκωμένης, καὶ ἀναστάσεως ἐλπιζομένης καὶ τῶν ἀπορρήτων ἀγαθῶν, καὶ μυρία ζωιδότες ἑαυ-
τοῖς κακά, καὶ τοσαῦτα ἔχοντες παραδείγματα, καὶ τοσούτους μετιόντες φιλοσοφίας, οὐ ὀ-
λίγην χρυσίου ἀπολέσωσί τινες, καὶ τὸ πολλάκις ἁρπάσαντες, ἀδίωτον καὶ βίον εἶναι νομίζου-
σιν," οὐ γυναικὸς ἐπιχειμένης, "οὐ παίδων ἀφαιρεθέντων, οὐ φίλων ὀνειδιζόντων, οὐκ οἰκετῶν ἐπερυθριώντων, ἀλλὰ καὶ πολλῶν ὄντων τῶν παραλογιστῶν, τῶν μὲν διὰ ῥημάτων, τῶν δὲ διὰ πραγμάτων· πόσων οὐκ ἄξιος ἔσται θρήνων, καὶ ὧν οὐκ ἐπῆλθε δικαίων πόνων συλλεγῆναι
ὁρᾶν ἁπλῶς καὶ ὡς ἔτυχεν ἁρπαζόμενα, καὶ μὴ πάντα ἐκεῖνα μυρίας ἐπιτιθέντων πειρασ-
μῶν νικάδας, καὶ διὰ πάντων ἀκίνητος μένων, καὶ τὴν παρεστηκυῖαν διαφέρων τῇ δεκάτῃ παρὰ τούτων διαφορεῖσθαι; διὰ γὰρ "μηδὲν τῶν ἄλλων μηδεὶς εἴπῃ, καὶ τῆς γυναικὸς μόνον ῥή-
ματα καὶ "πέντε ἰῶ ἰσχυρὰ διασαλεῦσαι. ὄρα γοῦν αὐτῆς τὴν κακουργίαν. ὅ μέμνηται χρη-
μάτων, ὅ μέμνηται καμήλων καὶ ποιμνίων καὶ βουκολίων (σημαίνει γὰρ τῷ ἀνδρὶ τὸν ὅτι

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

τούτοις φιλοσοφίαν) ἀλλὰ τῶν πόνων τούτων φορτικωτέρα, τῶν παίδων λέγω, καὶ πλατυτέρα τοῦ τραχήλου, καὶ πρὸ ἑαυτῆς ὠθοῦσα. Εἰ γὰρ ἦν "βύθιός σου οὕτως καὶ μηδὲν πάσχουσα ἀνδρὸς πολλὰ πολλάκις ἐπείσαν γυναῖκες· συνόησον" πῶς ἐκείνη νεανικὴ ἡ ψυχή, μὴ τοσούτων ὅπλων αὐτοῦ ἐπελθοῦσαν ἀποκρουσαμένη, καὶ δύο καὶ τυραννικώτατα πάθη καταπατήσασα, ἐπιθυμίαν καὶ ἔλεον. καίτοι πολλοὶ τῶν κρατησάντων ἐπιθυμίας, οὐκ ἐλέους ἐκράτησαν. ὁ γοῦν γυναῖος ἐκεῖνος Ἰωσὴφ τῆς μὲν τυραννικωτάτης ἡδονῆς κατέσχε, καὶ τοῦ βαρβάρου γυναικὸς ἐκείνου διεκρούσατο μειλίγματα· δακρύων δὲ οὐ κατέσχεν, ἀλλ' ἰδὼν τοὺς ἀδελφοὺς τοὺς ἠδικηκότας ἐνεσπλάγχνισε τῷ πάθει, καὶ ὁ "ποιμαντικὸν ταχέως" ῥίψας, ὃ δραῦμα ἀπεκάλυψεν. ὅταν δὲ καὶ γυνὴ ᾖ, καὶ ἐλεεινὰ λέγῃ, καὶ Ⓦ κακὸν ἔχῃ συμπαθεῖπονα, καὶ τὰ τραύματα, καὶ τοὺς μώλωπας, καὶ τὰ μειλίγματα τῶν συμφορῶν, πῶς οὐκ ἂν ὡς δικαίως ἀδάμαστος πάντος τερπότερον τοῦ σοῦ τοσοῦτον χειμῶνος παθοῦσαν ψυχὴν εἰ) ἀπεφήνατο; διὸ μοι μὴ πρόφασιν εἰπεῖν, ὅτι καὶ τῶν ἀποστόλων, εἰ μὴ μείζων, ἀλλ' οὐδὲ ἐλάττων ὁ μακάριος οὗτος ἦν. ἐκείνους μὲν γὰρ παρεμυθεῖτο, ὃ δὴ Ⓦ Χριστὸν πάσχειν *, καὶ ὅτω τοῦτο ἐθισμὸν ἦν ὃ φαρμακον καὶ ἐκάστην ἡμέραν αὐτοῦ ἀνασῶσαι, ὡς πάντα χοῦ αὐτῷ ἡδέως Ⓦ δεσπότην, δι' ἐμὲ καὶ ἕνεκεν ἐμοῦ λέγοντα, καὶ, εἰ ἐμὲ Ⓦ οἰκοδεσπότην Βεελζεβοὺλ ἐκάλεσαν. ἐκεῖνος δὲ τούτης ἔρημος ἦν τῆς παρρησίας, καὶ τῆς ἀπὸ τῶν σημείων, καὶ τῆς ἀπὸ τῆς χάριτος. οὐδὲ γὰρ εἶχε τοσαύτην πνεύματος δύναμιν. καὶ ὃ δὴ μεῖζον, ὅπερ ἐν πολλῇ τυφῇ πεφεὶς, οὐκ ἐξ ἁλιέων καὶ τελωνῶν ὢν καὶ τῶν ὑπέλως βεβιωκότων, ἀλλὰ τοσαύτης ἀπολελαυκὼς τιμῆς, ἔπαθεν ἅπερ ἔπαθεν ἅπαντα. καὶ ὅπερ φορτικώτατον ὑπὸ τῶν ἀποστόλων εἰ) ἐδόκει," ὃ αὐτὸς καὶ αὐτὸς ἐμάθε, τοῦτό φίλων, τοῦτό οἰκετῶν, πρὸ ἐχθρῶν μισούμενος, τοῦτό τῶν οὐ πεπονθότων· καὶ τὴν ἱερὰν ἀγκυραν, καὶ Ⓦ ἀκύμαντον λιμένα (τοῦτο γὰρ ἦν ὃ τοῖς ἀποστόλοις εἰρημένον, τὸ, ἕνεκεν ἐμοῦ) τοῦτο ἰδεῖν οὐκ εἶχε. θαυμάζω καὶ σοῦ τῆς παίδας, ὅτι" κατετόλμησαν καμίνου, ὅτι κατεξανέστησαν τυράννου· ἀλλ' ἄκουσον τί λέγουσι· Τοῖς θεοῖς σου οὐ λατρεύομεν, καὶ τῇ εἰκόνι τῇ χρυσῇ ἣν ἔστησας οὐ προσκυνοῦμεν· ὅπερ μεγίστη τοῦτο ἀμαθία ἀλλοῖς ἦν, ὃ σαφῶς εἰδέναι ὅτι δεῖ Ⓦ Θεὸν πάντα πάσχουσιν, ἅπερ καὶ πάσχουσιν· ἔστι γὰρ οὐκ ἤδει ὅτι ἀγωνίσματα ταῦτα ἦν καὶ πάλη. Εἰ γὰρ ἤδει, οὐκ ἂν ἠθέτει τῶν ἀγωνιστῶν. ὅτε γοῦν ἤκουσεν, ὅτι ἄλλως με οἴει σοι κεχρηματικέναι, ἢ ἵνα ἀναφανῇς δίκαιος; συνόησον πῶς βύθεως ἀπὸ φιλοῦ ῥήματος ἀνέπνευσε· πῶς ὀξυτέλισεν ἑαυτόν· πῶς οὐδὲ πεπονθέναι ἐνόμισεν ἅπερ ἔπαθεν, ὅτω λέγων· Τί ἔτι κρίνομαι νουθετούμενος καὶ ἐλεγχόμενος ὑπὸ Κυρίου, ἀκούων διαβολὰ οὐδὲν ὧν ἐγώ; καὶ πάλιν· ἕως μοῦ ὦτος ἀκοῆς ἤκουσάν σου δὲ νῦν δὲ καὶ ὀφθαλμός μου ἑώρακέ σε· διὰ ἐφαύλισα ἐμαυτὸν καὶ ἐτάκην· ἤγημαι δὲ ἐμαυτὸν γῆν καὶ σποδόν. ταύτην τοίνυν τὴν ἀνδρείαν, ταύτην τὴν ἐπιείκειαν καὶ ἡμεῖς ζηλώσωμεν, ἵνα μὴ νόμον καὶ χάριν, τὸ μὲν νόμου καὶ χάριτος γνησιώτερον, ἵνα καὶ τῶν αἰωνίων αὐτοῦ ἀπολαύσωμεν καὶ συνωνήσωμεν σκιρτῶν· ὧν γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ᾧ ἡ δόξα καὶ τὸ κράτος, εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Δευ. γ. ιη.

Ἰωὴλ μβ.

Ομιλ. λδ. 23 ΟΤΑΝ ΔΕ ΔΙΩΚΩΣΙΝ ΥΜΑΣ "ΕΚ

τῆς πόλεως ταύτης, φεύγετε εἰς τὴν ἄλλην. ἀμὴν γὰρ λέγω ὑμῖν, οὐ μὴ τελέσητε τὰς πόλεις τοῦ Ἰσραὴλ, ἕως ἂν ἔλθῃ ὁ υἱὸς τοῦ ἀνθρώπου.

Εἰπὼν

Ἐπὶ τῶν ἐκείνα τὰ φοβερὰ καὶ φρικώδη καὶ ἀδάμαντα ἱκανὰ ἀφαλίσασθαι, τὰ μὴ τὸν φαυλισμὸν καὶ τὴν αἰτίαν αὐτὸ καὶ τὴν ἀπάλειψιν αὐλοῖς συμβησόμενα, ἀλλὰ πάλιν τὸν λόγον ὅπερ τὰ ἡμερώτερα, δίδοις ἀναπνεῦσαι τοῖς ἀθλητάς, καὶ πολλὴν αὐλοῖς παρέχων τὴν ἄδειαν. οὐδὲ γὰρ ἐκέλευσε διωκομένους ὁμόσε χωρεῖν, ἀλλὰ φεύγειν. ὅπου γὰρ ἀρχὴ τέως ἰῶ καὶ παροίμια, συγκαταβαλιχώτερον χέρνηται τῷ λόγῳ. οὐδὲ γὰρ περὶ τῶν μὴ τοῦτό φησι διωγμῶν, ἀλλὰ περὶ τῶν μετὰ τὸ φανερὸν καὶ τὸ πάθος. καὶ τοῦτο ἐδήλωσε λέγων· ὑ γὰρ μὴ τελέσητε τὰς πόλεις τοῦ Ισραὴλ, ἕως ἂν ἔλθῃ ὁ υἱὸς τοῦ ἀνθρώπου. ἵνα γὰρ μὴ λέγωσι· Τί οὖν ἐὰν διωκόμενοι φεύγωμεν, καὶ πάλιν ἐκεῖ καταλαβόντες ἐλαύνωσι; τοῦτον ἀναιρῶν τὸν φόβον, φησίν· ὑ" φθάσετε περιβόντες τὰ Παλαιστίνης, καὶ θέσεως ὑμᾶς καταλήψομαι. Ὃ θέα πῶς καὶ ἐνταῦθα ὑ λύει τὰ δεινά, ἀλλὰ παείσαται τοῖς κινδύνοις. ὑ γὰρ εἶπεν, ὅτι ἐξαρπάσομαι καὶ λύσω τοῦ διωγμούς· ἀλλὰ τί; ὑ μὴ τελέσητε τὰς πόλεις τοῦ Ισραὴλ, ἕως ἂν ἔλθῃ ὁ υἱὸς τοῦ ἀνθρώπου. καὶ γὰρ ἦρκει ἐπὶ τοσοῦτον διωγμῶν αὐλοῖς τὸ ἰδεῖν αὐτὸν μόνον. σὺ δέ μοι σκόπει πῶς ὑ πανταχοῦ πάντα ὅπου ἐπὶ τῇ χάριτι, ἀλλὰ τί καὶ πρὸς αὐτὸν εἰσφέρεσθαι κελεύει. Εἰ γὰρ φοβεῖσθε, φησι, φύγετε, * καὶ μὴ φοβεῖσθε. καὶ τοῦτο αὐλοῖς τοῦτοις ἐκέλευσε φυγεῖν, ἀλλ' ἐλαυνομένους ὑποχωρεῖν· καὶ οὐδὲ πολὺ τὸ διάστημα δίδωσιν, ἀλλ' ὅσον περιβῆναι τὰς πόλεις τοῦ Ισραὴλ. Εἶτα πάλιν περὶ ἕτερον αὐλοῖς ἀλείφει μέρος φιλοσοφίας· περὶ τοῦτο μέν, τὸν μέλλοντα τῆς ἐσφῆς " σκάνδαλον· δεύτερον δέ, τὸν τῶν κινδύνων φόβον· νυνὶ δὲ τὸν τῆς κακηγορίας. ἐκείνης μὲν γὰρ ἀπήλλαξε τῆς φροντίδος, εἰπών· Ἄξιος ὁ ἐργάτης τοῦ μισθοῦ αὐτοῦ, καὶ δείξας ὅτι πολλοὶ αὐλοῖς ὑποδέξονται· τῶν δὲ κινδύνων *, εἰπών· Μὴ μεμνήσησθε πῶς, ἢ τί λαλήσητε, Ματθ. ιδ'. ιγ. καὶ ὅτι ὁ ὑπομείνας εἰς τέλος, οὗτος σωθήσεται. Ὅπου δὲ μὴ τούτων εἰκὸς ἰῶ αὐλοῖς ἐστι πονηρὸν δόξαν λαβεῖν, ὅπερ πολλοῖς πρώτων φορτικώτερον εἶναι δοκεῖ, ὅρα πόθεν αὐλοῖς καὶ ἐνταῦθα παραμυθίαν τιθεῖς, ὅπερ ἴσον οὐδὲν ἰῶ. ὥσπερ γὰρ εἶπεν ἐκεῖ, ὅτι ἔσεσθε μισούμενοι ὑπὸ πάντων, ἐστὶ δὲ ἐσθῆκε, δείκνυσι τὸ ὄνομά μου· ὕτω καὶ ἐνταῦθα καὶ ἑτέρως αὐλοῖς παραμυθεῖται, ἕτερον μετ' ἐκείνο τιθεῖς. ποῖον δή τοῦτο;

24 Οὐκ ἔστι μαθητὴς, φησιν, ὑπὲρ τὸν διδάσκαλον, οὐδὲ δοῦλος ὑπὲρ τὸν κύριον αὐτοῦ.

25 Ἀρκετὸν τῷ μαθητῇ, ἵνα γένηται ὡς ὁ διδάσκαλος αὐτοῦ, καὶ ὁ δοῦλος, ὡς ὁ κύριος αὐτοῦ. Εἰ τὸν δεσπότην Βεελζεβοὺλ ἐκάλεσαν, πόσῳ μᾶλλον τοὺς οἰκειακοὺς αὐτοῦ;

26 Μὴ οὖν φοβεῖσθε αὐτούς. Ὅρα πῶς ἑαυτὸν ἐκκαλύπτει " τῶν πόνων " τὴν δεσπότην καὶ Θεὸν ὢν δημιουργόν; Τί οὖν; οὐκ ἔστι μαθητὴς ὑπὲρ τὸν διδάσκαλον, οὐδὲ δοῦλος ὑπὲρ τὸν κύριον αὐτοῦ; ἕως ἂν μὴ ἡ μαθητὴς καὶ δοῦλος, οὐκ ἔστι τῆς ἡμῶν φύσιν. μὴ γάρ μοι τὰ σαθρίζοντα ἐνταῦθα λέγε, ἀλλ' ἀπὸ τῶν πλειόνων " δέχου τὸν λόγον. καὶ ὑ λέγει, πόσῳ μᾶλλον τοὺς δούλους, ἀλλὰ τοὺς οἰκειακοὺς αὐτοῦ, πολλὴν περὶ αὐτοῦς " ἡμέρωσιν ἐπιδεικνύμενος. καὶ σημαχῶ ὃ ἔλεγον· Οὐκέτι κελεύω ὑμᾶς δούλους, ὑμεῖς δὲ Ιω. ιε. ιε. φίλους μου ἐστε. Ὃ οὐκ εἶπεν, Εἰ τὸν οἰκοδεσπότην ὠνείσαν καὶ σκανδαλίσαν, ἀλλὰ καὶ αὐτὸ τὸ εἶδος τῆς ὕβρεως τίθησιν, ὅτι Βεελζεβοὺλ ἐκάλεσαν. Εἶτα καὶ ἑτέραν ταύτης οὐκ ἐλάττονα δίδωσι παραμυθίαν. ἐμοὶ γὰρ μεγίστη καὶ αὕτη. ὅπου γε τοῖς οὐδέπω φιλοσοφοῦσι καὶ ἑτέρως ἔδει τῆς μάλιστα αὐτοῖς ἀνακλήσασθαι δυναμένης, ὃ ταύτην τίθησι· καὶ δὴ μὲν σχῆμα τῶν λεγομένων καθολικὴν δοκεῖ τὴν ἀπόφασιν ἔχειν· πλὴν ὑ περὶ πάντων [τῶν] τοιούτων, ἀλλὰ περὶ τῶν τοιουτομένων εἴρηται μόνον. Τί γάρ φησι; μὴ φοβηθῆτε αὐτούς·

Οὐδὲν γάρ ἐστι κεκαλυμμένον, ὃ οὐκ ἀποκαλυφθήσεται· οὐδὲ κρυπτὸν, ὃ ὑ γνωσθήσεται.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ται*. Ὃ δὲ λέγει τοιοῦτόν ἐστιν. ἀρκεῖ μὲν ὑμῖν εἰς παραμυθίαν, τὸ καὶ ἐμὲ κοινωνῆσαι τῆς αὐτῆς λοιδορίας ὑμῖν, τὸν διδάσκαλον καὶ τὸν δεσπότην. εἰ δὲ ἔτι ἀλγεῖτε ταῦτα ἀκούοντες, ἐννοεῖτε κἀκεῖνο, ὅτι καὶ ταύτης μικρὸν ὕστερον ἀπαλλαγήσεσθε τῆς ὑποψίας. τίνος γὰρ ἕνεκεν ἀλγεῖτε ταῦτα ἀκούοντες; ὅτι γόητας ὑμᾶς καλοῦσι καὶ πλάνους; ἀλλ' ἀναμείνατε μικρὸν, καὶ σωτῆρας ὑμᾶς καὶ εὐεργέτας τῆς οἰκουμένης προσερεῦσιν ἅπαντες. καὶ γὰρ ἀποκαλύπτει ἅπαντα ὁ χρόνος τὰ συνεσκιασμένα, καὶ τὴν ἐκείνων συκοφαντίαν ἐλέγξει, καὶ δήλην ποιήσει τὴν ὑμετέραν ἀρετήν. ὅταν γὰρ διὰ τῶν πραγμάτων φαίνησθε σωτῆρες καὶ εὐεργέται καὶ πᾶσαν ἀρετὴν ἐπιδεικνύμενοι, οὐ τοῖς ἐκείνων προσέξουσι λόγοις οἱ ἄνθρωποι, ἀλλὰ τῇ τῶν πραγμάτων ἀληθείᾳ. καὶ οἱ μὲν συκοφάνται καὶ ψεῦσται καὶ κακήγοροι· ὑμεῖς δὲ τοῦ ἡλίου φανεῖσθε λαμπρότεροι, τοῦ μακροῦ χρόνου ἐκκαλύπτοντος ὑμᾶς καὶ ἀνακηρύττοντος, καὶ σάλπιγγος λαμπροτέραν φωνὴν ἀφιέντος, καὶ μάρτυρας ἅπαντας τῆς ὑμετέρας ποιοῦντος ἀρετῆς. μὴ τοίνυν τὰ λεγόμενα νῦν ὑμᾶς ταπεινούτω, ἀλλ' ἡ ἐλπὶς τῶν μελλόντων ἀγαθῶν ἀνορθούτω. ἀμήχανον γὰρ κρυβῆναι τὰ καθ' ὑμᾶς. Εἶτα, ἐπειδὴ πάσης αὐτοὺς ἀπήλλαξεν ἀγωνίας καὶ φόβου καὶ μερίμνης, καὶ ὑψηλοτέρους ἐποίησε τῶν ὀνειδῶν, τότε λοιπὸν εἰς καιρὸν αὐτοῖς καὶ περὶ τῆς ἐν τῷ κηρύγματι παρρησίας διαλέγεται.

27 Ὃ λέγω γὰρ ὑμῖν, φησὶν, ἐν τῇ σκοτίᾳ, εἴπατε ἐν τῷ φωτί· καὶ ὃ εἰς τὸ οὖς ἀκούετε, κηρύξατε ἐπὶ τῶν δωμάτων.

Καίτοιγε οὐκ ἦν σκότος ἡνίκα ταῦτα ἔλεγεν, οὐδὲ εἰς τὸ οὖς αὐτοῖς διελέγετο, ἀλλὰ μεθ' ὑπερβολῆς κέχρηται τῷ λόγῳ. ἐπειδὴ γὰρ μόνοις αὐτοῖς διελέγετο καὶ ἐν μικρᾷ γωνίᾳ τῆς Παλαιστίνης, διὰ τοῦτο εἶπεν, ἐν τῇ σκοτίᾳ, καὶ εἰς τὸ οὖς, πρὸς τὴν μετὰ ταῦτα παρρησίαν ἐσομένην, ἣν ἔμελλεν αὐτοῖς διδόναι, τὸν τρόπον τῆς διαλέξεως ἀντιδιαστέλλων ἐκείνης. οὐ γὰρ μιᾷ καὶ δύο καὶ τρισὶ πόλεσιν, ἀλλὰ τῇ οἰκουμένῃ κηρύξατε πάσῃ, φησὶ, γῆν καὶ θάλατταν ἐπιόντες, καὶ οἰκουμένην καὶ ἀοίκητον, καὶ τυράννοις καὶ δήμοις, καὶ φιλοσόφοις καὶ ῥήτορσι γυμνῇ τῇ κεφαλῇ καὶ μετὰ παρρησίας πάσης πάντα λέγοντες. διὰ τοῦτο εἶπεν, ἐπὶ τῶν δωμάτων, καὶ ἐν τῷ φωτί, τουτέστι, χωρὶς ὑποστολῆς τινος, καὶ μετ' ἐλευθερίας ἁπάσης. καὶ διατί μὴ εἶπε, κηρύξατε ἐπὶ τῶν δωμάτων, καὶ εἴπατε ἐν τῷ φωτὶ μόνον, ἀλλὰ καὶ προσέθηκεν, ὃ λέγω ὑμῖν ἐν τῇ σκοτίᾳ, καὶ ὃ εἰς τὸ οὖς ἀκούετε; ἐπαίρων αὐτῶν τὰ φρονήματα.
Ἰωαν. ιδ´. ιβ´. ὥσπερ οὖν ὅτε ἔλεγεν, Ὁ πιστεύων εἰς ἐμὲ, τὰ ἔργα ἃ ἐγὼ ποιῶ κἀκεῖνος ποιήσει, καὶ μείζονα τούτων ποιήσει· οὕτω δὴ καὶ ἐνταῦθα, δεικνὺς ὅτι πάντα δι' αὐτῶν ἐργάσεται, καὶ πλέον ἢ δι' ἑαυτοῦ, τοῦτο τέθεικε. τὴν μὲν γὰρ ἀρχὴν ἐγὼ δέδωκα, φησὶ, καὶ τὰ προοίμια· τὸ δὲ πλέον δι' ὑμῶν ἀνύσαι βούλομαι. τοῦτο δὲ οὐκ ἐπιτάττοντός ἐστι μόνον, ἀλλὰ καὶ τὸ μέλλον προαναφωνοῦντος καὶ θαρροῦντος τοῖς λεγομένοις, καὶ δεικνύντος ὅτι πάντων κρατήσουσι, καὶ ἠρέμα καὶ τὴν [περὶ τῆς] κακηγορίας ἀγωνίαν πάλιν ὑπορύττοντος. ὥσπερ γὰρ τοῦτο τὸ κήρυγμα λανθάνον τέως πάντα ἐπελεύσεται, οὕτω καὶ ἡ πονηρὰ τῶν Ἰουδαίων ὑπόληψις ἀπολεῖται ταχέως. Εἶτα, ἐπειδὴ ἐπῆρεν αὐτοὺς καὶ ὕψωσε, προαναφωνεῖ πάλιν καὶ τοὺς κινδύνους, ἀναπτερῶν αὐτῶν τὴν διάνοιαν καὶ ὑψηλοτέρους πάντων ποιῶν. τί γάρ φησι;

28 Μὴ φοβηθῆτε ἀπὸ τῶν ἀποκτενόντων τὸ σῶμα, τὴν δὲ ψυχὴν μὴ δυναμένων ἀποκτεῖναι. Εἶδες πῶς πάντων αὐτοὺς ἔστησεν ἀνωτέρους, οὐχὶ φροντίδος μόνον, οὐδὲ κακηγορίας, οὐδὲ κινδύνων καὶ ἐπιβουλῶν, ἀλλὰ καὶ αὐτοῦ τοῦ πάντων εἶναι δοκοῦντος φοβεροῦ θανάτου πείθων καταφρονεῖν; καὶ οὐδὲ ἁπλῶς θανάτου, ἀλλὰ καὶ βιαίου. καὶ οὐκ εἶπεν, ὅτι ἀναιρεθήσεσθε· ἀλλὰ καὶ μετὰ τῆς αὐτῷ προσηκούσης μεγαλοπρεπείας τὸ πᾶν ἐδήλωσε, μὴ φοβηθῆτε λέγων ἀπὸ τῶν ἀποκτενόντων τὸ σῶμα, τὴν δὲ ψυχὴν μὴ δυναμένων ἀποκτεῖναι· φοβήθητε δὲ μᾶλλον τὸν καὶ ψυχὴν καὶ σῶμα δυνάμενον ἀπολέσαι ἐν γεέννῃ·

Ὅπερ

Ὅπερ ἀεὶ ποιεῖ*, εἰς τοὐναντίον περιτρέπων τὸν λόγον. τί γάρ φησι; δεδοίκατε τὸν θάνατον, καὶ διὰ τοῦτο ὀκνεῖτε κηρύττειν; δι' αὐτὸ μὲν οὖν τοῦτο κηρύξατε, ἐπειδὴ δεδοίκατε θάνατον. τοῦτο γὰρ ὑμᾶς ἐξαιρήσεται τοῦ ὄντως θανάτου. εἰ γὰρ καὶ μέλλουσιν ὑμᾶς ἀναιρεῖν, ἀλλὰ τοῦ κρείττονος οὐ περιέσονται, κἂν μυρία φιλονεικήσωσι. διὰ τοῦτο οὐκ εἶπε, τὴν δὲ ψυχὴν οὐκ ἀποκτεινόντων, ἀλλὰ μὴ δυναμένων ἀποκτεῖναι. κἂν γὰρ καὶ θελήσωσιν, οὐ περιέσονται. ὥστε εἰ δέδοικας κόλασιν, ἐκείνην φοβοῦ τὴν πολλῷ χαλεπωτέραν. ὁρᾷς πῶς πάλιν οὐκ ἐπαγγέλλεται αὐτοῖς ἀπαλλαγὴν θανάτου, ἀλλ' ἀφίησιν ἀποθανεῖν, μείζονα χαριζόμενος, ἢ εἰ μὴ συνεχώρησε τοῦτο παθεῖν; τοῦ γὰρ ἀπαλλάξαι θανάτου τὸ πεῖσαι καταφρονεῖν θανάτου πολλῷ μεῖζόν ἐστιν. οὐ τοίνυν εἰς κινδύνους ἐμβάλλει αὐτούς, ἀλλ' ἀνωτέρους ποιεῖ κινδύνων, καὶ ἐν βραχεῖ λόγῳ τὰ περὶ ἀθανασίας ψυχῆς ἐν αὐτοῖς πήγνυσι δόγματα· καὶ ἐν δύο ἢ τρισὶ λέξεσι δόγμα σωτήριον καταφυτεύσας, καὶ ἀπὸ λογισμῶν αὐτοὺς ἑτέρων παραμυθεῖται. ἵνα γὰρ μὴ νομίσωσιν ἀναιρούμενοι καὶ σφαττόμενοι, ὡς ἐγκαταλιμπανόμενοι, τοῦτο πάσχειν, πάλιν τὸν περὶ τῆς προνοίας τοῦ Θεοῦ εἰσάγει λόγον, οὕτω λέγων·

29 Οὐχὶ δύο στρουθία ἀσσαρίου πωλεῖται; καὶ ἓν ἐξ αὐτῶν οὐ πεσεῖται εἰς παγίδα ἄνευ τοῦ πατρὸς ὑμῶν τοῦ ἐν τοῖς οὐρανοῖς.

30 Ὑμῶν δὲ καὶ αἱ τρίχες τῆς κεφαλῆς πᾶσαι ἠριθμημέναι εἰσί. Τί γὰρ εὐτελέστερον ἐκείνων, φησίν; ἀλλ' ὅμως οὐδὲ ἐκεῖνα ἁλώσεται ἀγνοοῦντος τοῦ Θεοῦ. οὐ γὰρ τοῦτό φησιν, ὅτι αὐτοῦ ἐνεργοῦντος πίπτει (τοῦτο γὰρ ἀνάξιον Θεοῦ) ἀλλ' ὅτι οὐδὲν αὐτὸν λανθάνει τῶν γινομένων. εἰ τοίνυν ἀγνοεῖ οὐδὲν τῶν συμβαινόντων, ὑμᾶς δὲ φιλεῖ πατρὸς γνησιώτερον, καὶ οὕτω φιλεῖ, ὡς καὶ τὰς τρίχας ἠριθμηκέναι, οὐ χρὴ δεδοικέναι. τοῦτο δὲ ἔλεγεν, οὐχ ὅτι τὰς τρίχας ὁ Θεὸς ἀριθμεῖ· ἀλλ' ἵνα τὴν ἀκριβῆ γνῶσιν καὶ τὴν πολλὴν πρόνοιαν τὴν περὶ αὐτοὺς ἐνδείξηται. εἰ τοίνυν καὶ οἶδε πάντα τὰ γινόμενα, καὶ δύναται σώζειν ὑμᾶς, καὶ βούλεται, ὅσα ἂν πάθητε, μὴ νομίσητε ἐγκαταλιμπανόμενοι πάσχειν. οὐδὲ γὰρ ἀπαλλάξαι ὑμᾶς βούλεται τῶν δεινῶν, ἀλλὰ πεῖσαι καταφρονεῖν τῶν δεινῶν· ἐπειδὴ τοῦτο μάλιστα ἀπαλλαγή τῶν δεινῶν.

5 Καὶ τίνος ἕνεκεν διεστείλατο; ὥστε τῶν σκανδαλιζόντων ἐκ μέσου γενομένων, καὶ τοῦ σταυροῦ τελεσθέντος, καὶ τῶν ἄλλων ὧν ἔπαθεν ἀπ' αὐτοῦ πεπαθέντων, καὶ μηδενὸς ὄντος λοιπὸν τοῦ ἁγιάζοντος καὶ θελκύοντος τὸ εἰς αὐτὸν τῶν πολλῶν πίστιν, καθαρὰν καὶ ἀκίνητον ἀπεργάσασθαι τῶν ἀκουόντων τῇ ἀληθείᾳ τὸ περὶ αὐτοῦ δόξαν. καὶ γὰρ οὕτω σαφῶς ἐκλάμψασα αὐτοῦ ἡ δύναμις. ἀλλὰ διὰ τοῦτο τότε ἐβούλετο μυστηρίου πρὸς αὐτῶν, ὅτε 10 καὶ ἡ σαφὴς τῶν περιγραφῆς ἀληθὴς, καὶ ἡ τῶν θεομόνων ἰσχὺς ζωηρὰ τοῖς παρὰ τῶν ἀποστόλων λεγομένοις. οὐδὲ γὰρ ἴσον ὁρᾶν νῦν αὐτὸν ὡς τὰ παλαιστίνη θαυματουργοῦντα, νῦν δὲ ὑβριζόμενον, ἐλαυνόμενον, καὶ μάλιστα ὁπότε καὶ ὁ σταυρὸς ἐμέλλε δέχεσθαι τὰ θαύματα τὰ γινόμενα· καὶ πάντα χρὴ τῆς οἰκουμένης περισκιρτοῦντα βλέπειν καὶ πιστευόμενον, καὶ μηδὲν τοιοῦτον πάσχοντα λοιπὸν, οἷ ἔπαθε. διὰ τοῦτό φησι μηδενὶ εἰπεῖν. τὸ μὲν γὰρ ῥιζωθὲν ἅπαξ, 15 εἶτα ἀναπαυθὲν, δυσκόλως δὲ φυτευθὲν καταφθαρεῖη πάλιν παρὰ τοῖς πολλοῖς· ὃ δὴ μὴ τὸ παγιῶσαι ἅπαξ μείζονα ἀκίνητον καὶ μεθαρμόθεν ἐπιρεασθὲν, ῥᾳδίως δύνασι τὰς αὐξήσιν ἐπιδίδωσι μείζονα. εἰ γὰρ τὰ σημείων ἀπολελευκότες πολλῶν, καὶ τοσούτων μεταχόντες μυστηρίων ἀπορρήτων, ὅσων τῆς ἀκοῆς μόνης ἐσκανδαλίσθησαν· μᾶλλον δὴ οὐκ αὐτοὶ μόνοι, ἀλλὰ καὶ ὁ πάντων κορυφαῖος Πέτρος· ἐννόησον δὴ σὺ τοὺς πολλοὺς ἐκεῖνος παθεῖν, μαθόντας μὴ 20 ὅτι υἱός Θεοῦ ὄντα, ὁρῶντας δὲ σταυρούμενον καὶ ἐμπτυόμενον, καὶ τὰ μυστηρίων τούτων ἀπόρρητον οὐκ εἰδότας, οὐδὲ πνεύματος ἁγίου ἀπολελαυκότας. εἰ γὰρ τοῖς μαθηταῖς ἔλεγε· Πολλὰ ἔχω λέγειν ὑμῖν, ἀλλ' οὐ δύνασθε βαστάζειν ἄρτι· πολλῷ μᾶλλον ὁ λοιπὸς δῆμος Ιωαν. ιϛ. ιβ. κατέπεσεν ἄν, εἰ περὶ καινοῦ τοῦ περισκιρτοῦντος τὰ τῶν μυστηρίων τούτων ἀκρότατον αὐτοῖς ἀπεκαλύφθη. διὰ τοῦτο κωλύει εἰπεῖν. καὶ ἵνα μάθῃς πόσον ἐστὶ τὸ μὴ ταῦτα μαθεῖν 25 πλήρη τοῦ διδασκαλίου, τῶν σκανδαλιζόντων περιῃρημένων, ἀπ' αὐτοῦ τούτου τοῦ κορυφαίου μανθάνε. αὐτὸς γὰρ οὗτος ὁ Πέτρος, ὁ μὴ τοσαῦτα σημεῖα ὕστερον φανεὶς ἀθενὴς, ὡς δὲ ἀρνήσασθαι καὶ κύριον οὐτελῆ δόξαι, ὅτῳ ὁ σταυρὸς περιεχώρησε, καὶ τῆς ἀναστάσεως σαφεῖς ἔλαβε τὰς ἀποδείξεις, καὶ οὐδὲν ἐστὶ λοιπὸν τὸ σκανδαλίζον αὐτὸν καὶ θορυβοῦν, οὕτως ἀκίνητον κατέσχε τοῦ πνεύματος τὸν διδασκαλίαν, ὡς λέοντος σφοδρότερον ὑπερπηδᾶν τὰ δόγμα τῶν 30 Ιουδαίων, καίτοι κινδύνων καὶ μυρίων θανάτων ἀπειλουμένων. πολλὰ γὰρ ἔχω λέγειν ὑμῖν, φησὶν, ἀλλ' οὐ δύνασθε βαστάζειν ἄρτι. καὶ τῶν εἰρημένων ἃ πρὸ αὐτοῦ πολλὰ ἀγνοοῦσιν, ἃ οὐκ ἐποίησε σαφῆ περὶ τοῦ σταυροῦ· ὅτε γὰρ ἀνέστη, τότε ἔγνωσαν ἕνια τῶν λεχθέντων. εἰκότως τοίνυν ἐκέλευσε τοῖς πολλοῖς μὴ εἰπεῖν περὶ τοῦ σταυροῦ, ὅπου γε οὐδὲ αὐτοῖς τοῖς μέλλουσι διδάσκειν πάντα ἐνθάδε ἐθάρρησε περὶ τοῦ σταυροῦ.

35 21 Ἀπὸ τότε ἤρξατο αὐτοῖς δεικνύειν, ὅτι δεῖ αὐτὸν παθεῖν. Ἀπὸ τότε, πότε; ὅτε ἔπηξεν ἐν αὐτοῖς τὸ δόγμα· ὅτε τὸν ἀρχηγὸν τῶν ἐθνῶν εἰσήγαγεν. ἀλλ' οὐδὲ οὕτω σιωπᾷ τὸ λεγόμενον. ἕως γάρ, φησὶ, κεκαλυμμένος ὁ λόγος ἀπ' αὐτῶν· καὶ ὥσπερ ἐν ἀσαφείᾳ τινὶ ἦσαν, οὐκ εἰδότες ὅτι δυνάμει ἕως αὐτὸν δεῖ. διὰ τοῦτο δὲ ἀναβάλλει τοῖς δυσχερέσι, καὶ ἐμπλατύνει τὸν λόγον, ἵνα ἀνοίξῃ αὐτῶν τὸν διάνοιαν, καὶ σιωπᾷ τί ποτέ ὅτι τὸ 40 λεγόμενον. ἀλλ' οὐ σιωπᾷ, ἀλλ' ἕως τὸ ῥῆμα κεκαλυμμένον ἀπ' αὐτῶν· καὶ ἐφοβοῦντο αὐτὸν ἐρωτῆσαι, καὶ εἰ ἀποθανεῖται, ἀλλὰ πῶς καὶ τίνι τρόπῳ. καὶ τί ποτέ ὅτι τοῦτο τὸ μυστήριον; οὐδὲ γὰρ ἤδεσαν, τί ποτέ ὅτι τὸ ἀναστῆναι τοῦτο αὖθ', καὶ πολλῷ βέλτιον ἐνόμιζον εἶναι τὸ μὴ ἀποθανεῖν. διὰ τοῦτο τῶν ἄλλων θορυβομένων καὶ ἀγανακτούντων, πάλιν ὁ Πέτρος, θερμὸς ὤν, μόνος τολμᾷ περὶ τούτων διαλεχθῆναι· καὶ οὐδὲ τοῦτ' παρρησίᾳ, ἀλλὰ καταδίδωσι λαβών·

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

σων· τυτέστι, τῶν λοιπῶν ἀποχώρισας ἑαυτὸν μαθητῶν, καὶ φησιν· 22 Ιλεώς σοι, Κύριε, οὐ μὴ ἔσται σοι τοῦτο. Τί ποτε τοῦτο ἔστιν; ὁ ἀποκαλύψεως τυχών, ὁ μακαριωθείς, οὕτω σφόδρα ταχέως διέπεσε καὶ ἐσφάλη, ὡς φορτικῶς αὐτῷ ὃ πάθος; καὶ τί θαυμαστόν, ὅτε οὐ δεδεγμένον ἐν τούτοις ἀποκάλυψιν, τοῦτο παθεῖν; ἵνα γὰρ μάθῃς, ὅτι οὐδὲ σκῆνα οἰκοθεν ἐφθέγξατο, ὅρα πῶς ἐν τούτοις τοῖς οὐκ ἀποκεκαλυμμένοις αὐτῷ, πῶς θορυβεῖται καὶ ἀποτρέπεται), καὶ μειδιάκις ἀκούων οὐκ οἶδε τί ποτέ ἐστι ὃ λεγόμενον. ὅτι μὲν γὰρ υἱὸς Θεοῦ ἐστιν, ἔμαθεν· ὅ, τι ποτὲ δέ ἐστι τὸ μυστήριον τοῦ σταυροῦ καὶ τῆς ἀναστάσεως, οὐδέπω αὐτῷ δῆλον ἐγένετο. καὶ γὰρ ἐῶ, φησιν, ἀπ' αὐτῶν ὁ λόγος κεκαλυμμένος. ὁρᾷς ὅτι δικαίως ἐκέλευσε τοῖς ἄλλοις μὴ ὀχλεῖσθαι; εἰ γὰρ ὃς ἀναγκαῖον ἦν μαθεῖν, οὕτως ἐθορύβησε, τί οὐκ ἂν ἔπαθον οἱ λοιποί; αὐτὸς μόνος δείκνυς ὅτι τοσοῦτον ἀπέχει ἄκων ἐλθεῖν ὅτε τὸ πάθος, καὶ ἐπετίμησε τῷ Πέτρῳ καὶ Σατανᾶν ἐκάλεσεν. ἀκουσάτωσαν ὅσοι τὸ πάθος ἐπαισχύνονται τὸν σταυρὸν τοῦ Χριστοῦ. εἰ γὰρ ὁ κορυφαῖος, καὶ ὅταν ἡ πρώτη μαθητὴς σαφῶς, Σατανᾶς ἐκλήθη τοῦτο παθεῖν, τίνα ἂν ἔχοιεν συγγνώμην οἱ μὴ τοσαύτην ἀπόδειξιν τῆς οἰκονομίας λαβόντες; ὅταν γὰρ ὁ οὕτω μακαριοθείς, ὁ τοιαῦτα ὁμολογήσας τοιαῦτα ἀκούῃ· ἐννόησον τίνα πείσουσι καὶ μὴ τοιαῦτα ἀλογιστοῦντες τὸν σταυροῦ τὸ μυστήριον. καὶ οὐκ εἶπεν, ὁ Σατανᾶς ἐφθέγξατο σὲ, ἀλλ' ὕπαγε ὀπίσω μου, Σατανᾶ· καὶ γὰρ ἐπιθυμία ἦν τοῦ αἰτηκειμένου, "ὃ μὴ παθεῖν Χριστόν. διὰ τοῦτο μὴ τοσαύτης σφοδρότητος ἐπετίμησεν αὐτῷ, δηλῶν ἡδέως μάλιστα καὶ αὐτὸν ἐκ τοῦ ἄλλως τοῦτο φοβουμένους καὶ οὐκ εὐκόλως αὐτὸ δεξαμένους. διὰ τοῦτο καὶ ἀποκαλύπτει καὶ ἀπὸ τῆς διανοίας αὐτοῦ λέγων·

23 Οὐ φρονεῖς τὰ τοῦ Θεοῦ, ἀλλὰ τὰ τῶν ἀνθρώπων. [Τί δέ ἐστιν, οὐ φρονεῖς τὰ τοῦ Θεοῦ, ἀλλὰ τὰ τῶν ἀνθρώπων;] ἐκάστος αὐτῶν ἀνθρωπίνῳ λογισμῷ ἐκ γήινον τὸ πρᾶγμα δέχεται ζῶν, ἐνόμισεν αἱρετὸν εἶναι τοῦτο αὐτῷ ἐκ ἀνθρωπές. καθικνούμενος τοίνυν αὐτοῦ, φησιν· οὐ τὸ ἐμὲ παθεῖν ἀνθρωπές, ἀλλὰ σὺ σαρκικῇ γνώμῃ τοῦτο ψηφίζῃ. ὡς εἰ τοῦ Θεοῦ ἦκουες τῶν λεγομένων τῆς σαρκικῆς διανοίας ἀπαλλαγείς, ἤδεις δὴ ὅτι ἐμοὶ μάλιστα τοῦτο πρέπον ἐστί. σὺ μὲν γὰρ νομίζεις ὅτι ἀνάξιόν μοῦ ἐστι τὸ παθεῖν· ἐγὼ δέ σοι λέγω, ὅτι τὸ μὴ παθεῖν με, τῆς τοῦ διαβόλου γνώμης ἐστίν· ἀπὸ τῶν ἐναντίων καταστέλλων αὐτοῦ τὸν ἀγωνίαν. ὥσπερ γὰρ Ιωάννου, ἀνάξιον αὐτοῦ νομίζοντα εἶναι τὸ βαπτισθῆναι ὑπ' αὐτοῦ, βαπτίσαι ἔπεισεν εἰπών, Οὕτω πρέπον ἐστὶν ἡμῖν· καὶ αὐτοῦ τοῦτο τῷ Πέτρῳ κωλύοντι" αὐτοῦ νίψαι τοὺς πόδας ἔφη· Οὐκ ἔχεις μέρος μετ' ἐμοῦ, ἐὰν μὴ νίψω τοὺς πόδας σου· οὕτω καὶ ἐνταῦθα ἀπὸ τῶν ἐναντίων αὐτὸν κατέσχε, καὶ τῇ τῆς ἐπιτιμήσεως σφοδρότητι ὑπὲρ τοῦ παθεῖν φόβον κατέστειλε.

Ματθ. γ. ιδ. Ιωαν. ιγ. η.

ΗΘΙΚΟΝ Μηδεὶς τοίνυν αἰσχυνέσθω τὰ σημεῖα τῆς σωτηρίας ἡμῶν σύμβολα καὶ τὸ κεφάλαιον τῶν ἀγαθῶν, καὶ δι' ἃ ζῶμεν, καὶ δι' ὃ ἐσμεν· ἀλλ' ὡς τίμιον, οὕτω περιφέρωμεν τὸν σταυρὸν τοῦ Χριστοῦ. καὶ γὰρ πάντα δι' αὐτοῦ τετέλεσται τὰ καθ' ἡμᾶς. κἂν ἀναγλυφῆναι δέῃ, σταυρὸς προσγίνεται· κἂν τραφῆναι τῷ μυστικῷ" ἐκείνῳ ἐφοδίῳ· κἂν χειροτονηθῆναι, κἂν ὁτιοῦν ἕτερον ποιῆσαι, πάντα χρὴ τοῦτο τῆς νίκης ἡμῖν προτίσασθαι σύμβολον. διὰ τοῦτο καὶ ἐπὶ οἰκίας, καὶ ἐπὶ τῶν τοίχων, καὶ ἐπὶ τῶν θυρίδων, καὶ ἐπὶ τοῦ μετώπου, καὶ ἐπὶ τῆς διανοίας μετὰ πολλῆς ἐπιτιθέμεθα αὐτὸν τῆς ἀσφαλείας. τῆς γὰρ ἡμῶν σωτηρίας, καὶ τῆς ἐλευθερίας τῆς κοινῆς, καὶ τῆς ἐπιεικείας ἡμῶν τοῦ δεσπότου, τοῦτο ἐστὶ τὸ σημεῖον. Ως γὰρ ἐπὶ σφαγὴν ἤχθη. ὅταν τοίνυν σφραγίζῃ, ἀνοίει πᾶσαν τοῦ σταυροῦ τὴν ἀνάθεσιν, καὶ σβέσον θυμὸν καὶ τὰ λοιπὰ πάθη· ὅταν σφραγίζῃ, πολλῆς ἔμπλησον τὸ μέτωπον παῤῥησίας, ἐλευθέραν τὴν ψυχὴν ποίησον. ἵστε πάντως τίνα ἐστὶ καὶ ἐλευθερίαν παῤῥησίαν. διὰ καὶ Παῦλος εἰς τοῦτο ἀνάγων ἡμᾶς, εἰς τὴν ἐλευθερίαν λέγω τὴν προσοικουσῶν ἡμῖν, ὅτως ἐνῆγε, διὰ σταυροῦ καὶ τοῦ αἵματος ἀναμνήσας τοῦ δεσποτικοῦ. Τιμῆς γάρ, φησιν, ἠγοράσθητε·

Ησ. ιγ. ζ. Περιξ. π. λγ. κ. Κορ. ε. κ.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ἠγερμένοι· μὴ γίνεσθε δοῦλοι αἰσθέτων. συνόησον, φησι, τὸν ὑπὲρ σὲ καὶ ἀβλητοῦντα ὑμῶν, ἢ σοῦ ἕνεκεν τῶν δι' ἀσθενῆ ὑμῶν, ἢ σοῦ ἕνεκεν τῶν δι' ἀσθενῆ ὑμῶν, τὸν ἑαυτοῦ λέγων. σοῦ γὰρ ἁπλῶς ὁ διάβολος ἐνεχειρήσειν αὐτὸν δι', ἀλλὰ τοῦ τέρου τῆ τοῦ πυρετοῦ μὴ πολλῆς τῆς πίστεως. καὶν ὅτως εἰς τὸ πώσης αὐτὸν τῆ ὄψει, σοῦ εἰς ἐπὶς σε ἐλθεῖν δυνήσεται τῶν ἀκαθάρτων δαιμόνων, ὁρῶν τὸν μάχαιραν, ἐν ᾗ τὸν πληγὴν ἔλαβεν, ὁρῶν τὸ ξίφος, ᾧ τὸν καιρὸν ἐδέξατο πληγὴν. εἰ γὰρ ἡμεῖς ὅταν ὁρῶντες, ἐν οἷς ἀπετέμνοντο κατάδικοι, φεύγομεν, συνόησον εἰ πείσονται οἱ δαίμονες, τὸ ὅπλον ὁρῶντες δι' ὃ πᾶσαν τὴν δύναμιν αὐτῶν ἔλυσεν ὁ Χριστός, καὶ τὸν τῶν δρακόντων ἀπάτημα κεφαλήν. μὴ τοίνυν ἐπαισχύνθης τοῦτον ἀγαθόν, ἵνα μή σε ἐπαισχυνθῇ ὁ Χριστός, ὅταν ἔρχηται μετὰ τῆς δόξης αὐτοῦ, καὶ τὸ σημεῖον ἐμπορεύσεται φαίνῃ· ὑπὲρ αὐτὸν τὸν ἀκτῖνα τοῦ ἡλίου. καὶ γὰρ ἔρχεται ὁ σταυρὸς ὅτε φωτὶ ἀφειὶς δι' ἡμᾶς ὅλως, καὶ πρὸς τὸν οἰκουμένην ἅπασαν ἀπολογούμενος ὑπὲρ τῶν δεσποτῶν, καὶ δεικνὺς ὅτι οὐδὲν ἀπέλιπε τῶν εἰς αὐτὸν ἡκόντων. τὸ δὲ σημεῖον καὶ ὅτι τῶν προφητῶν ἡμῶν καὶ νεκρῶν θύρας ἀνέῳξε κεκλεισμένας· τοῦτο δηλητήρια ἔσβεσε φαρμάκων· τοῦτο κωφείου δυνάμεν ἔλυσε· τὸ σημεῖον δόγματα ἰοβόλων ἰάσατο. εἰ γὰρ ἄλλα πύλας ἀνέῳξε, καὶ θεσμοὺς ἀφίδας ἀνεπέτασε, καὶ τὸν δεσμὸν εἰσόδον ἀνεκαίνισε, καὶ τὸν Δαβὶδ τοῦ νοῦ ἔξεκλε· τί θαυμαστόν, εἰ καὶ φαρμάκων δηλητηρίων, καὶ τῶν θηρίων, καὶ τῶν ἄλλων τοιούτων κρείττων; τοῦτο τοίνυν ἐγκόλαφον τῇ Δαυϊδίᾳ τῇ σῇ, καὶ τὸν σωτηρίαν ἀπέλιπεν τῶν ἡμετέρων ψυχῶν. σοῦ γὰρ ὁ σταυρὸς τὸν οἰκουμένην ἔσωσε καὶ ἐπέστρεψε· τὸν πλανώμενον ἔξήλασε· τὸν ἀληθῆν ἐπεμήνυσε· τὸν γῆν οὐρανὸν ἐποίησε· σοῦ δι' ἀποστόλους ἀγγέλους εἰργάσατο. διὰ τοῦτον οἱ δαίμονες σοῦ ἐπὶ φοβεροὶ, ἀλλ' ἀνεκταφεύκτοι· σοῦδὲ ὁ θάνατος θανάτου. ἀλλ' ὕπνος. διὰ τοῦτον πάντα ἐρριπται χαμαὶ καὶ πεπάτηται τὰ πολεμιώτατα ἡμῖν. δι' τοίνυν εἴπῃ σοί τις, τί ἐσταυρωμένου προσκυνεῖς; εἰπὲ φαιδρᾷ τῇ φωνῇ, γεγηθὼς τῷ προσώπῳ, καὶ προσκυνῶ, καὶ οὐ παύσομαί ποτε προσκυνῶν. κἂν γελάσῃ, δάκρυσον αὐτὸν ὅτι μαίνεται· βλασφήμησον τῷ δεσπότῃ, ὅτι τοιαῦτα ἡμᾶς ἐργάτησεν, ἃ μηδὲ μαθεῖν δυνατόν τινες χωρεῖς τῆς ἄνωθεν ἀποκαλύψεως. διὰ γὰρ τοῦτο καὶ ἔστι γελᾶ, Ὅτι ψυχικὸς δι' ἄνθρωπος ὁ δέχεται τὰ τοῦ πνεύματος. διὸ καὶ τὰ παιδία τοῦτο πάσχει, ὅταν τι τῶν μεγάλων ἴδῃ καὶ θαυμαστῶν. κἂν εἰς μυστήριον εἰσαγάγῃς παιδίον, γελάσει. τούτοις ὁμοίως ἔλλιπεῖς ἐοίκασι τοῖς παιδίοις· μᾶλλον δὲ οὐ τούτων εἰσὶν ἀτελέστεροι. διὰ καὶ ἀθλιώτεροι, ὅτι οὐκ ἐν ὥρᾳ ἡλικίας, ἀλλ' ἐν τελείᾳ τὰ τῶν νηπίων πάσχουσι· ὅθεν οὐδὲ συνιέναι εἰσὶν ἄξιοι. ἀλλ' ἡμεῖς χαμαιρᾷ τῇ φωνῇ καὶ μέγα καὶ ὑψηλὸν βοῶντες κράζωμεν καὶ λέγωμεν, καὶ ὅταν πάντες πρὸς ἐσθίειν ἔλλιπεῖς μὴ πλείονος τὴν παρρησίας· ὅτι τὸ καύχημα ἡμῶν ὁ σταυρὸς, καὶ τὸ κεφάλαιον τῶν ἀγαθῶν ἁπάντων, καὶ ἡ παρρησία καὶ ὁ στέφανος ἅπας. ἐβουλόμην δὲ μὴ Παύλου δυνάσθαι λέγειν, Ὅτι δὲ ἐμοὶ κόσμος ἐσταύρωται, κἀγὼ τῷ κόσμῳ· ἀλλ' ὁ δυνάμενος, ποικίλοις πάθεσι κατηγμένος. διὰ παντὸς καὶ ὑμῖν, καὶ σοὶ τε ὑμῶν καὶ ἐμαυτοῦ, σταυροῦσθαι τῷ κόσμῳ, καὶ μηδὲν κοινὸν ἔχειν πρὸς τὸν γῆν· ἀλλὰ τῆς ἄνω πατρίδος ἐρᾶν, καὶ τῆς ἐκεῖθεν δόξης καὶ τῶν ἀγαθῶν. ἐν γὰρ στρατιῶται ἐσμεν βασιλέως οὐρανίου, καὶ ὅπλα ἐνδεδύμεθα πνευματικά. τί τοίνυν καὶ καπήλων καὶ ἀγυρτῶν, μᾶλλον δὲ σκωλήκων βίον μεταχειρίζομεν; ὅπου γὰρ ὁ βασιλεύς, ἐκεῖ καὶ οἱ στρατιῶται εἶναι δεῖ. καὶ γὰρ στρατιῶται γεγόναμεν, οὐ τῶν μαχέων, ἀλλὰ τῶν ἐπῶν. ὁ μὲν γὰρ ὅτι τῆς γῆς βασιλεὺς οὐκ ἀνάγκη πάντας εἶναι ἐν τοῖς βασιλείοις, οὐδὲ πρέπει καὶ αὐτὸν πλουτεῖν· ὁ δὲ τῶν οὐρανῶν ἅπαντας ἐνταῦθα βούλεται τοῦ θείου τοῦ βασιλικοῦ. καὶ πῶς δυνατὸν ἐκεῖσε εἶναι· ὄντας, φησί, πρὸ ἐκείνου ἐσόμενα οὐ θεῖον; ὅτι καὶ Παῦλος ὅτι τῆς γῆς ὢν, ὅπου τὰ σεραφὶμ, ἐκεῖ, ὅπου τὰ χερουβὶμ, καὶ ἑκατέρω τοῦ Χριστοῦ, ἢ ὅτοι ἀποδιδράσκει τοῦ βασιλέως. οὗτοι μὲν γὰρ πολλαχοῦ καὶ ὄψις ἐπιφέρουσιν· ἐκεῖνον δὲ οὐδὲν ἐφλύ-

ταζεν,

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ταζεν, οὐδὲ παρεῖλκεν, ἀλλὰ πᾶσαν τὴν δξένοιαν αὐτῶ τοῖς τὸν βασιλέα Χεισὸν πεπαμθύῖω εἶχεν. ὥστε αἰ βουληθῶμθ, δυνατὸν ἡμῖν ἔστο. εἰ μὴ γὰ ὅπῳ διειςήκει, καλῶς ἠπόρθς· εἰ ὃ πθυταχθ πρέσι, ὦ ασυνδάζονι ἡ συντεταμθύῳ πλησίον ὄςιν. δξὲ τοῦτο ἡ ὁ προφήτης ἔλεγθ· Οὐ φοβηθήσομαι κακά, ὅτι σὺ μετ' ἐμοῦ εἶ. καὶ αὐτὸς πάλιν ὁ Θεός· Θεὸς ἐπίζων ἐγώ εἰμι, ἡ οὐχὶ Θεὸς πόῤῥωθεν. ὥσπερ οὖν ἁμαρτίαν διίςωσιν ἡμᾶς ἀπ' αὐτοῦ, ὅτω δικαιοσύνας σωιάζουσιν ἡμᾶς τοῖς αὐτόν. Επ γὰ λαλοιῶτός σου, φησιν, ἰδοὺ πάρειμι. ποῖος πατὴ ὅτως αὐ ἐπιτιμήσειέ ποτε τοῖς ἐγόνοις; ποία μήτης ὅτως ὀςὶ πάροικθασμένη ἡ διωκεχῶς ἐςηκυῖα, μή ποτε καλέσειεν αὐτιῶ τὰ παιδία; οὐκ ἔςιν οὐδεὶς, οὐ πατήρ, οὐ μήτης. ἀλλ' ὁ Θεὸς διωκεχῶς ἕςηκεν ἀναμένων, εἴ τις ποτε καλέσειεν αὐτὸν τῶν οἰκετῶν, ἡ οὐδέποτε, καλεσάντων ἡμῶν ὡς δεῖ, πρόηκεν. δξὶ τοῦτό φησιν· ἔπ λαλοιῶτός σου. οὐκ ἀναμένω σε πληρῶσαι, ἡ αὐθέως ἐπιτήκω. καλέσωμθ τοίνυν αὐτὸν, ὡς κληθῆναι βούλεται. πῶς οὖν βούλεται; Λύε, φησὶ, πθύτα σιώδεσμον ἀδικίας, δξάλυσε τραχαλιὰς βιαίων σιωθηγμάτων, πᾶσαν συγκεφαλὴν ἀδικον δξάπασε· δξένθρυπτε πεινανθι ἄρτον σου, ἡ πτωχὸς ἀστέγους εἰσάγαγε εἰς τὸν οἶκόν σου· ἐὰν ἴδῃς γυμνὸν, περίβαλε· ἐκ τῶν οἰκείων τοῦ σπέρματός σου οὐκ ὑποστείλῃ. τότε ῥαγήσεται πρωῖμον τὸ φῶς σου, ἐκ τὰ ἰάματά σου ταχὺ ἀνατελῶ, ἡ προπορεύσεται ἔμπροσθέν σου ἡ δικαιοσιή σου, καὶ ἡ δόξα τοῦ Θεοῦ περιςελεῖ σε. τότε ἐπικαλέσῃ με, ἡ εἰσακούσομαί σου· ἔπ λαλοιῶτός σου ἐρῶ, ἰδοὺ πάρειμι. ἡ τίς ταῦτα πθύτα δυνήσεται ποιῆσαι, φησι; τίς ὃ δύναται, εἰπέ μοι; τί γὰ δυσχερές τῶν εἰρημθύων; τί ὃ ἐργῶδες; τί δὲ ῥάδιον; οὕτω δέ ὅτιν οὐχὶ δυνατὰ μόνον, ἀλλὰ ἡ εὔκολα, ὅπ πολλοὶ καὶ ὃ μέζον τῶν εἰρημθύων κατώρθωσαν, οὐκ ἀδικα γραμματεῖα δξαπαῶντες μόνον, ἀλλὰ ἡ τὰ ὄντα ἀποδυσάμθνοι πάντα· οὐ στέγῃ ἡ τραπέζη τοὺς πτωχοὺς δεχόμθνος, ἀλλὰ ἡ ταῖς τοῦ σώματος ἱδρῶσι, ἡ κάμνοντες ὥστε αὐτοὺς δξαθρέψαι, οὐ συγγενεῖς μόνον, ἀλλὰ ἐχθροὺς εὐεργετοῦντες. τί ὃ ἡ ὅλως δύσκολον τῶν εἰρημθύων; οὐδὲ γὰ εἶπεν, κατώρθωται ὁ ὄρος· δξάβηθι ὃ πέλαγος· δξάσκαπτον πλέθρα γῆς τόσα ἡ τόσα· ἄσιτος δξάμθνε· σάκκον περίβαλε· ἀλλὰ μετάδος τοῖς οἰκείοις, μετάδος τοῦ ἄρτου, τὰ ἀδίκως συγκείμθνα γραμματεῖα δξάῤῥηξον. τί τούτων εὐκολώτερον, εἰπέ μοι; εἰ ὃ ἡ δύσκολα εἶ νομίζεις, σκόπει μοι ἡ τὰ ἔπαθλα, ἡ ἕξεις σοι ῥάδια. καθάπερ γὰ ὦ βασιλεῖς ἐν τῇ ἱπποδρομίας τοῖς τῶν ἀγωνιζομθύων τεφθύοις ἡ βραβεῖα ἡ ἱμάτια σιωλιθέασιν· ὅτω δὴ ἡ ὁ Χεισὸς ἐν μέσῳ τίθησι τοῦ σταδίου τὰ ἔπαθλα, καθάπερ δξὲ πολλῶν χάῤῥν, τῶν τοῦ πνεύματος ἐκλεινῶν αὐτά. ἡ ὦ μὴ βασιλεῖς, κἂν μυελάκις ὦσι βασιλεῖς, ἅτε δὴ θεσπέσιοι ὄντες, ἡ ὑπερείδω δαπθωμθύῳ ἔχοντες, ἡ φιλθμίδω μάλισκομθύῳ, τὰ ὀλίγα πολλὰ φιλθμοῦντα δεῖξαι (δξὸ ἡ ἓν ἕκασον ἑκάςῳ τῶν δξακόνων ἐγχειρίζοντες, οὕτως εἰσάγουσιν εἰς μέσον) ὃ βασιλεὺς ὁ ἡμέτερος τοὐναντίον. ἀπθμα ὁμῶ συμφορήσας, ὅπῃ σφόδρα ὅτιν ὑπορεῖν ἡ οὐδὲν τοῖς ὑπιδειξιν ποιῇ, οὕτως εἰς μέσον τοῖς τίθησιν, ἅπερ ἐκλαθέντα ἀπειρα ἔςαι, ἡ πολλῶν δεήσεται τῶν κατεχουσῶν χειρῶν. ἐκ ἵνα μάθῃς τοῦτο, ἕκασον αὐτῶν σκόπει μὴ ἀκριβείας. τότε ῥαγήσεται πρωῖμον τὸ φῶς σου. ἆρα οὐ δοκεῖ ἓν τῇ εἶ τὸ δῶρον τοῦτο; ἀλλ' οὐκ ἔςιν ἕν. ἡ γὰ πολλὰ ἔνδον ἔχει, ἡ βραβεῖα καὶ τεφθύους, ἡ ἕτερα ἔπαθλα. καὶ, εἰ βούλεσθε, λύσαντες δείξωμθν τὸν πλοῦτον ἅπαντα, καθὼς οἷ' τέ ὅτιν ἡμῖν δεῖξαι· μόνον μὴ ἀποκάμητε. καὶ πρῶτον μάθωμθν τί ὅτι, ῥαγήσεται. οὐδὲ γὰ εἶπε, φανῆται, ἀλλὰ, ῥαγήσεται, τὸ ταχὺ καὶ δαψιλὲς ἡμῖν ἐμφαίνων, καὶ πῶς σφόδρα ἐφίεται τῆς ἡμετέρας σωτηείας, ἡ ὡς ὠδίνει τὰ ἀγαθὰ αὐτὰ προβῆθῆναι, ἡ ἐπείγει), καὶ οὐδὲν ἔςαι τὸ κωλύον τὸν ἄφατον ῥύμλν· δι' ὧν ἀπθμάτων τὴν δαψιλείαν αὐτῶν ἐνδείκνυ), καὶ τὸ ἄπειρον τῆς πρυσίας. τί δέ ὅτι, πρωῖμον; τοῦτέσιν, οὐ μὴ τὸ ἐν τοῖς πειρασμοῖς ἡμέλλω, οὐδὲ μὴ τὴν τῶν κακῶν ἔφοδον, ἀλλὰ ἡ πρὸ φθά-

νῃ.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

νδ. καθάπερ γὰρ ὅτε τῶν καρπῶν λέγομεν πεφῖμον ὃ πρὸ τοῦ καιροῦ φανέν, οὕτω καὶ ἐνταῦθα ὃ ταχινὸν πάλιν ἐμφαίνων οὕτως εἶπεν, ὥσπερ ἄνω ἔλεγεν· ἔτι λαλοῦντός σου ἐρωτᾷ, ἰδοὺ πρεσβεύομεν. ποῖον ἢ λέγει ὁ φῶς; καὶ τί πολλάκις τοῦτο ὃ φῶς; οὐ τοῦτο ὃ αἰσθητόν, ἀλλ' ἕτερον πολλῷ βέλτιον, ὁ τῶν οὐρανῶν ἡμῖν δείκνυσι, τοὺς ἀγγέλους, τοὺς ἀρχαγγέλους, τὰ χερουβὶμ, τὰ σεραφὶμ, τὰς ἀρχὰς, τὰς ἐξουσίας, τοὺς θρόνους, τὰς κυριότητας, ὃ στρατόπεδον ἅπαν, τὰς αὐλὰς τὰς βασιλικὰς, τὰς σκηνάς. δι' οὗ γὰρ τοῦ φωτὸς ἐκείνου καταξιωθῆς, καὶ ταῦτα ὄψει, καὶ ἀπαλλαγήσῃ γεέννης, καὶ τοῦ σκώληκος τοῦ ἰοβόλου, καὶ τοῦ βρυγμοῦ τῶν ὀδόντων, καὶ τῶν δεσμῶν τῶν ἀλύτων, καὶ τῆς ζενοχωρείας, καὶ τῆς θλίψεως· καὶ τοῦ σκότους τοῦ ἀφεγγοῦς, καὶ τοῦ διχοτομηθῆναι, καὶ τῶν ποταμῶν τοῦ πυρὸς, καὶ τῆς καπνοῦ, καὶ τῶν τῆς ὀδύνης χωρίων· καὶ ἀπελεύσῃ ἔνθα ἀπέδρα ὀδύνη καὶ λύπη, ἔνθα πολλὴ ἡ χαρὰ καὶ ἡ εἰρήνη καὶ ἡ ἀγάπη καὶ ἡ εὐφροσύνη καὶ ἡ τρυφὴ, ἔνθα ζωὴ αἰώνιος καὶ δόξα ἄρρητος καὶ κάλλος ἄφραστον, ἔνθα αἰώνιοι σκηναὶ, καὶ ἡ δόξα τοῦ βασιλέως ἡ ἀπόρρητος, καὶ τὰ ἀγαθὰ ἐκεῖνα, ἃ ὀφθαλμὸς οὐκ εἶδε, καὶ οὓς οὐκ ἤκουσε, καὶ ἐπὶ καρδίαν οὐκ ἀνέβη· ἔνθα ὁ νυμφὼν ὁ πνευματικὸς, καὶ αἱ παστάδες τῶν οὐρανῶν, καὶ αἱ πρόδηλοι αἱ τοῦ Φαληρὰς ἔχουσαι λαμπάδας, καὶ τὸ ἔνδυμα τοῦ γάμου ἐχόντες· ἔνθα πολλὰ τοῦ ἀσπάτου, καὶ τὰ τοῦ μέλλοντος βασιλικά. εἶδες ἡλίκα τὰ ἔπαθλα, καὶ ὅσα δι' μιᾶς ῥήσεως ἐπεδείξατο, καὶ πῶς πάντα ἐσωφρόνησεν; οὕτω καὶ τῶν ἐξῆς ῥήσεων εἰκὸς ἐσὶν ἀναπτύξαντες, πολλὰ εὑρήσομεν τὴν διάνοιαν, καὶ πέλαγος ἀχμές. Τί οὖν ἀναβαλώμεθα, εἰπέ μοι, καὶ ὀκνήσομεν ἐλεεῖν τοὺς δεομένους; μὴ δῆτα καλῶ, ἀλλὰ, κἂν πάντα ῥίψαι δέῃ, κἂν εἰς πῦρ ἐμβληθῆναι, κἂν ξίφοις κατατομῆναι, κἂν τῇ μαχαίρᾳ ἁλῶναι, κἂν ὁτιοῦν παθεῖν, πάντα φέρωμεν εὐκόλως, ἵνα τοῦ ἐνδύματος ἐπιτύχωμεν τῆς βασιλείας τῶν οὐρανῶν, καὶ τῆς ἀπορρήτου δόξης ἐκείνης· ἧς γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ᾧ ἡ δόξα καὶ τὸ κράτος εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Ομιλ. νε. 24 ΤΟΤΕ Ο ΙΗΣΟΥΣ ΕΙΠΕ ΤΟΙΣ ΜΑΘΗΤΑΙΣ ΑΥΤΟΥ· ΕΙ ΤΙΣ ΘΕΛΕΙ ΟΠΙΣΩ ΜΟΥ ΕΛΘΕΙΝ, ΑΠΑΡΝΗΣΑΣΘΩ ΕΑΥΤΟΝ, ΚΑΙ ΑΡΑΤΩ ΤΟΝ ΣΤΑΥΡΟΝ ΑΥΤΟΥ, ΚΑΙ ΑΚΟΛΟΥΘΕΙΤΩ ΜΟΙ.

Τότε, πότε; ὅτε ὁ Πέτρος εἶπεν, ἵλεώς σοι, οὐ μὴ ἔσαι σοι τοῦτο, καὶ ἤκουσεν, ὕπαγε ὀπίσω μου Σατανᾶ. οὐδὲ γὰρ ἠρκέσθη τῇ ὀπτῇ μίσει μόνον· ἀλλὰ καὶ ἐκ προαιρέσεως βλάπτειν ἐζήτει τὸν τε τοῦ διδασκάλου Πέτρου ἐπιρρήμονα ἀποπίαν, καὶ ὃ κέρδος ὃ ἀπὸ τοῦ πάθους, φησί· σὺ μοι λέγεις, ἵλεώς σοι, οὐ μὴ ἔσαι σοι τοῦτο· ἐγὼ δέ σοι λέγω, ὅτι οὐ μόνον ὃ ἐμὲ κωλύσας καὶ τὰ ἐμῶ πάθη διαφεραίνειν, ὀπισθοδρόμος σοι καὶ ὀλέθριον, ἀλλ' ὅτι οὐδὲ σωθῆναι δυνήσῃ, ἐὰν μὴ καὶ αὐτὸς εἰς ὃ ἀποθανεῖν ἧς πρεσκευασμένος ἐμοῦ πάντος. ἵνα γὰρ μὴ ἀνάξιον αὐτοῦ παθεῖν νομίσωσιν, οὐ ἐμοῦ τοῦ πατρὸς μόνον, ἀλλὰ καὶ ἐμοῦ τῶν ἐπαγομένων αὐτοῖς παιδεύει τοῦ πράγματος τὸ κέρδος. ἐν μὲν οὖν τῷ Ἰωάννῃ φησὶν· ἐὰν πεσὼν ὁ κόκκος τοῦτο εἰς τὴν γῆν μὴ ἀποθάνῃ, αὐτὸς μόνος μένει· ἐὰν δὲ ἀποθάνῃ, πολὺν καρπὸν φέρει. ἐνταῦθα δὲ ἐκ προαιρέσεως αὐτὸν γυμνάζων, οὐκ ἐφ' ἑαυτοῦ πρᾶγμα λόγον μόνον πρὸς τοῦ δεῖν ἀποθνήσκειν, ἀλλὰ καὶ ἐπ' ἐκείνων. τοσοῦτον γὰρ τοῦ πράγματος τοῦτό ἐσι κέρδος, ὅτι καὶ ἐφ' ὑμῶν, ὃ μὴ θέλῃ ἀποθανεῖν, δεινόν· τὸ δὲ ἕτοιμον ἔχειν πρὸς τοῦτο, ἀγαθόν. ἀλλὰ τοῦτο μὲν ἐκ τῶν ἐξῆς δηλοῖ, τέως δὲ ἐξ ἑνὸς αὐτὸν γυμνάζει μέρους. καὶ ὅρα πῶς καὶ ἀναπόδραστον ποιεῖ λόγον. οὐδὲ γὰρ εἶπεν, ὅτι κἂν βούληται, κἂν μὴ βούληται, ἐξ τοῦτο ὑμᾶς παθεῖν, ἀλλὰ πῶς; Εἴ τις θέλει ὀπίσω

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ὀπίσω μυ ἐλθεῖν. ὃ βιάζομαι, οὐκ ἀναγκάζω· ἀλλ' ἑκάσιον κύριον τῆς ἑαυτῦ προαιρέσεως ποιῶ. διὸ καὶ λέγω, εἴ τις θέλει. ὅτι γὰρ ἀγαθὰ καλῶ, οὐχ ὅτι κακὰ καὶ ἐπαγῆ, οὐκ ὅτι κόλασιν καὶ τιμωρίαν, ἵνα καὶ ἀναγκάσω. καὶ γὰρ αὐτὴ τὰ προστάγματος ἡ φύσις ἱκανὴ ἐφελκύσασθαι. ταῦτα δὲ λέγων ἐπιστασίασε μειζόνως. ὁ μὲν γὰρ βιαζόμενος ἐνοχλεῖ πολλάκις· ὁ δὲ ἀφεὶς κύριον (ΝΝ) ἀκροατὴν εἶ), μᾶλλον ἐφέλκεται. βίας γὰρ δυνατώτερον θεραπεία. διὸ καὶ αὐτὸς ἔλεγε· εἴ τις θέλει. μεγάλα γὰρ ἔστιν ἃ δίδωμι ὑμῖν, φησίν, ἀγαθά, καὶ διαπαντὸς, ὡς καὶ ἐπιτρέχειν ἐκόντας. οὐδὲ γὰρ εἴ τις χρυσίον πρὸ ὄψεως ἔχει καὶ ἡσαυρὸν προτίθη, μετὰ βίας ἑλκύσειν δύναται. εἰ δὲ εἰς ἐκφυγὰ μετὰ βίας, πολλῷ μᾶλλον ὅτι ταῦτα ἐν τοῖς ἀγαθοῖς ἀγαθά. εἰ γὰρ μὴ ἡ τοῦ προστάγματος φύσις πείθει σε δραμεῖν, οὐδὲ λαβεῖν ἄξιος εἶ· οὐδ' ἂν λάβῃς, εἴσῃ καλῶς ὃ ληφθέν. διὰ τοῦτο οὐκ ἀναγκάζει ὁ Χριστὸς, ἀλλὰ προτρέπει φειδόμενος ἡμῶν. ὅπου γὰρ ἐδόκουν πολλὰ διαθρύλλειν ἰδία, θορυβούμενοι πρὸς τὸ εἰρημένον, φησίν· οὐ χρεία θορύβου καὶ ταραχῆς. εἰ μὴ νομίζετε μισθὸν ἀγαθῶν αἴτιον εἶ) τὸ εἰρημένον, καὶ ἐφ' ὑμῖν συμβαῖνον, οὐ βιάζομαι οὐδὲ ἀναγκάζω, ἀλλ' εἴ τις θέλει ἀκολουθεῖν, τοῦτον καλῶ. μὴ γὰρ δὴ τοῦτο νομίζετε εἶ) τὸ ἀκολουθῆσαι, ὃ ποιῆτε νῦν ἐπόμενοί μοι· πολλῶν ὑμῖν διὰ πόνων, πολλῶν κινδύνων, εἰ μέλλοιτε ὀπίσω μυ ἰέναι. ὃ γὰρ δὴ, ὦ Πέτρε, ὅπου νῦν ὑὸν με ὡμολόγησας Θεοῦ, διὰ τοῦτο μόνον προσδοκᾷν ὀφείλεις στεφάνους, καὶ νομίζειν εἰς σωτηρίαν ἀρκεῖν σοι τοῦτο, καὶ ἀδείας λοιπὸν ἀπολαύειν, ὡς τὸ πᾶν ἐργασάμενος. δυνάμεθα μὲν γὰρ, ἅτε υἱὸς ὢν Θεοῦ, μηδὲ ἀφῆναί σε πεῖραν τῶν δεινῶν λαβεῖν· καὶ βουλόμεθά γε σὲ, ἵνα καὶ αὐτὸς ἡ συνεισενέγκῃς καὶ δοκιμώτερος γένῃ. οὐδὲ γὰρ εἴ τις ἀγωνοθέτης εἶπε φίλον ἀθλητὴν ἔχοι, βουληθείη ἂν χαρίτι αὐτὸν στεφανῶσαι μόνον, ἀλλὰ καὶ ἀπὸ τῶν οἰκείων πόνων, διὰ τοῦτο μάλιστα ὅπου αὐτὸν φιλῇ. οὕτω καὶ ὁ Χριστός· ὃς μάλιστα φιλῇ, τούτους μάλιστα βούλεται καὶ οἴκοθεν βοηθεῖσθαι, οὐκ ἀπὸ τῆς αὐτοῦ βοηθείας μόνης. ὅρα δὲ πῶς καὶ ἀνεπαχθῆ ποιῇ (ΝΝ) λόγον. οὐδὲ γὰρ εἰς αὐτοὺς παρείσησι μόνους τὰ δεινὰ, ἀλλὰ καὶ κοινὸν τὸ δόγμα τῇ οἰκουμένῃ προτίθησι, λέγων· εἴ τις θέλει καὶ γυνή, καὶ ἡμέρ, καὶ ἄρχων, καὶ ἀρχόμενος, ταύτῃ ἐρχέσθω τῇ ὁδῷ. καὶ δοκεῖ μὲν ἓν τι εἰρηκέναι· τρία δέ ἐστι τὰ λεγόμενα, τὸ ἀπαρνήσασθαι ἑαυτὸν, καὶ τὸ ἆραι (ΝΝ) σταυρὸν αὐτοῦ, καὶ τὸ ἀκολουθεῖτω μοι. τὰ μὲν δύο συνέζευκται, τὸ δὲ ἓν καθ' ἑαυτὸ τέτακται. ἀλλ' ἴδωμεν πρότερον τί ποτέ ἐστι τὸ ἀρνήσασθαι ἑαυτόν. μάθωμεν πρότερον τί ἐστιν ἀρνήσασθαι ἕτερον, καὶ τότε εἰσόμεθα τί ποτέ ἐστιν ἀρνήσασθαι ἑαυτόν. τί οὖν ἐστιν ἀρνήσασθαι ἕτερον; ὁ ἀρνούμενος ἕτερον, οἷς ἢ ἀδελφόν, ἢ οἰκέτην, ἢ ὀντινοῦν, καὶ μισούμενον ἴδῃ, καὶ δεσμούμενον, καὶ ὁποιῶν πάσχοντα, διὰ πρᾶξιν αὐτοῦ, οὐ βοηθεῖ, οὐκ ἐπικλᾶται, οὐ πάσχει τι πρὸς αὐτὸν, ἅτε ἀπαλλοτριωθείς. οὕτω τοίνυν βούλεται τὰ σώματος ἀφεῖναι τὰ ἡμετέρου, ἵνα καὶ μισῶσι, καὶ ἐλαύνωσι, καὶ κρίνωσι, καὶ ὁποιῶν ποιῶσι, μὴ φεισώμεθα. τοῦτο γὰρ ἐστι φείσασθαι. ἐπεὶ καὶ οἱ πατέρες τότε φείδονται τῶν ἐγγόνων, ὅταν διδασκάλοις αὐτὰ παραδιδόντες, κελεύωσιν αὐτῷ μὴ φείδεσθαι. διὰ τοῦτο καὶ ὁ Χριστὸς οὐκ εἶπε μὴ φείσασθαι ἑαυτῆς, ἀλλ' ἐπιτεταμένως, ἀπαρνησάσθω ἑαυτὸν, τουτέστι, μηδὲν ἐχέτω κοινὸν πρὸς ἑαυτὸν, ἀλλ' ἐκδότω τοῖς κινδύνοις, τοῖς ἀγῶσι, καὶ ὡς ἑτέρου ταῦτα πάσχοντος, οὕτω διακείσθω. καὶ οὐκ εἶπεν, ἀρνησάσθω· ἀλλ' ἀπαρνησάσθω, καὶ τῇ μικρᾷ ταύτῃ προσθήκῃ πολλαπλασίονα ἐμφαίνων τὸν ἀγῶνα. καὶ γὰρ πλέον τοῦτο ἐκείνου ἐστί. καὶ ὅρα τὸ (ΝΝ) σταυρὸν αὐτοῦ. τοῦτο δὲ ἐκείνου χαλεπώτερον. ἵνα γὰρ μὴ νομίσῃς ὅτι μέχρι ῥημάτων καὶ ὑβρεων καὶ ὀνειδισμῶν σὲ ἀπαρνήσασθαι ἑαυτὸν, λέγει καὶ μέχρι πόσου ἀπαρνεῖσθαι ἑαυτὸν σὲ· τουτέστι, μέχρι θανάτου, καὶ θανάτου ἐπονειδίστου. διὰ τοῦτο οὐκ εἶπεν, ἀπαρνησάσθω ἑαυτὸν μέχρι θανάτου· ἀλλ' ἀρέσθω τὸν σταυρὸν αὐτοῦ, (ΝΝ) ἐπονειδίστου θανάτου δηλαδὴ· καὶ ὅτι οὐχ ἅπαξ, οὐδὲ δὶς, ἀλλὰ διὰ παντὸς τοῦ βίου τοῦτο δεῖ ποιεῖν. διηνεκῶς γὰρ, φησὶ, περίφερε τὸν θάνατον τοῦτον,

τοῦτον, ἵ καθ' ἡμέραν ἕτοιμος ἔσο πρὸς σφαγήν. ὅπου γὰρ πολλοὶ χρημάτων μὴ κατεφρόνησαν καὶ τυφῆς καὶ δόξης, θανάτου οὐκ ἀρνήσονται, ἀλλ' ἔδειξαν κινδύνους, ἐγὼ φησι καὶ μέλη αἵματος παλαίειν ⓦ ἀγωνίζομαι βούλομαι τὸν ἐμόν, καὶ ἕως σφαγῆς καὶ σκάμματα γίνεται· ὥστε κἂν θάνατον ὑπομεῖναι δέῃ, κἂν θάνατον ⓦ ἐπινοήσῃ, κἂν θάνατον τὸν ἐπάρατον, κἂν ὅτι πονηρᾶς ὑποληφθῶ, πολύτα δεῖ γυναίως φέρειν, καὶ αὐτῇ μᾶλλον ἀγάλλεσθαι. καὶ ἀκολουθείτω μοι. ὅπου γὰρ ὅτι πάθρονται μὴ ἀκολουθεῖν, ὅταν μὴ δι' αὐτὸν τις πάθῃ (καὶ γὰρ λῃσαὶ πολλαὶ [καὶ] χαλεπώτερα πάθρουσι, καὶ τυμβωρύχοι καὶ ζόντες) ἵνα μὴ νομίσῃς ὅτι ἔχει τὴν δεινὴν ἡ φύσις, πρόσθησι τὴν ὑποθέσιν τῶν δεινῶν. τίς δέ ἐστιν αὕτη; ἵνα ταῦτα ποιῶν καὶ πάσχων αὐτῷ ἀκολουθῇς, ἵνα δι' αὐτὸν πολύτα ὑπομένῃς, ἵνα καὶ τὴν ἀλλὴν ἀρετὴν ἔχῃς. καὶ γὰρ καὶ τοῦτο δηλοῖ ὅ, ἀκολουθείτω μοι, ὥστε μὴ μόνον ἀνδρείαν τὴν ἐν τοῖς δεινοῖς, ἀλλὰ καὶ σωφροσύνην καὶ ὑπακοὴν καὶ πᾶσαν ἐπιδείκνυσθαι φιλοσοφίαν. τοῦτο γάρ ἐστιν ἀκολουθεῖν ὡς χρή, τὸ καὶ τῆς ἄλλης ἀρετῆς ἐπιμελεῖσθαι, καὶ ὅ δι' αὐτὸν πολύτα πάσχειν. Εἰσὶ γὰρ ⓐ τῶν Σαμβόλῳ ἀκολουθοῦντες, καὶ ταῦτα πάσχουσι, καὶ δι' ἐκεῖνον ταῖς ψυχαῖς αὐτῶν ἐκδιδόασιν· ἀλλ' ἡμᾶς δεῖ τὸν Χριστὸν, μᾶλλον δὲ δι' ἡμᾶς αὐτὸς. ἐκεῖνοι μὲν, ἵνα ἑαυτοὺς βλάψωσι, καὶ ἐνταῦθα καὶ ἐκεῖ· ἡμεῖς δὲ ἵνα κερδήσωμεν ἑκατέρωθεν τὴν ζωήν. πῶς οὖν οὐκ ἐσμὲν βλακείας, μηδὲ τῇ αὐτῇ τοῖς ἀπολλυμένοις ὑπιδείκνυσθαι ἀνδρείαν, καὶ ταῦτα, τοσούτους μέλλοντας καρποῦσθαι στεφάνους; καίτοιγε ἡμῖν μὲν ὁ Χριστὸς πρέσβεσι βοηθῶν, ἐκείνοις δὲ ὑπεύθυνοις· εἶπε μὲν οὖν ἤδη καὶ τοῦτο τὸ ὑπόταγμα, ὅτε ἔπεμπεν αὐτοὺς λέγων· Εἰς ὁδὸν ἐθνῶν μὴ ἀπέλθητε. Ἀποστέλλω γὰρ ὑμᾶς ὡς πρόβατα, καὶ Ματθ. ι. ε. Λουκ. ι. γ. ὑπὲρ ἡγεμόνας δὲ καὶ βασιλεῖς ἀχθήσεσθε· νυνὶ δὲ ὑπὲρ τοσούτων μᾶλλον καὶ αὐστηρότερον. Τότε μὲν γὰρ θάνατον εἶπε μόνον· ἐνταῦθα δὲ καὶ σταυρὸν ἐμνημόνευσε, καὶ σταυρὸν διπλοῦν. ἀράτω γάρ, φησὶ, τὸν σταυρὸν αὐτοῦ· τουτέστι, βασταζέτω διπλοῦν καὶ φερέτω. καὶ οὕτω ποιεῖν εἴωθε πολλαχοῦ, οὐκ ἐξ ἀρχῆς δὲ οὐδὲ ἐκ προοιμίων, ἀλλ' ἡρέμα καὶ κατὰ μικρὸν τὰ μείζονα τῶν προαγγελμάτων εἰσάγων, ἵνα μὴ ξενίζωνται ⓐ ἀκούοντες. Εἶτα, ὅπου σφοδρὸν ἐδόκει εἶναι τὸ εἰρημένον, ὅρα πῶς αὖθις ἐξῆς προαμύθηται, καὶ λίθοις ἔπαθλα ἐπαφάλλοντα δροσερὰ ἰδρῶτας· καὶ οὐκ ἔπαθλα μόνον, ἀλλὰ καὶ τὰ τῆς κακίας ὑπόκειται. καὶ γὰρ τούτοις ἐνδυναμοῖ μᾶλλον, ἢ ἐκείνοις· ἐπειδήπερ οὐχ ὅτως ἡ τῶν ἀγαθῶν δόσις, ὡς ἡ τῶν αὐστηρῶν ἀπειλὴ δοκεῖ πολλοὺς σωφρονίζειν εἰώθασι. σκόπει δὲ πῶς καὶ ἐντεῦθεν ἄρχεται, καὶ εἰς τοῦτο τελευτᾷ.

30 25 Ος γὰρ ἂν θέλῃ τὴν ψυχὴν αὐτοῦ σῶσαι, ἀπολέσει αὐτήν· ὃς δ' ἂν ἀπολέσῃ τὴν ἑαυτοῦ ψυχὴν ἕνεκεν ἐμοῦ, οὗτος σώσει αὐτήν.

26 Τί γὰρ ὠφελήσει ἄνθρωπος, ἐὰν ⓦ κόσμον ὅλον κερδήσῃ, καὶ ζημιωθῇ τὴν ψυχὴν αὐτοῦ; ἢ τί δώσει ἄνθρωπος ἀντάλλαγμα τῆς ψυχῆς αὐτοῦ; Ο δὲ λέγει τοιοῦτόν ἐστιν· οὐκ ἀφειδῶν ὑμῶν, ἀλλὰ καὶ σφόδρα φειδόμενος, ταῦτα ὑποτίθεμαι. καὶ γὰρ ὁ φειδόμενος τοῦ παιδίου αὐτοῦ, ἀπόλλυσιν αὐτό· ὁ δὲ μὴ φειδόμενος, σῴζει. ὅ καὶ ἡ σοφὸς ἔλεγεν· Οτι ἐὰν παίσῃς ⓦ υἱόν σου ῥάβδῳ, σὺ μὴ ἀποθάνῃ, τὴν δὲ ψυχὴν αὐτοῦ οὐκ θανάτου Παροι. κγ. ιγ. ῥύσῃ. καὶ πάλιν, Ο φειδόμενος τοῦ υἱοῦ αὐτοῦ, καταδήσει τραύματα αὐτοῦ· τοῦτο καὶ ὅτι * στρατοπέδου Σειρ. λ. δεῖ. δοῦλος γὰρ ὁ στρατηγὸς φειδόμενος τῶν στρατιωτῶν, ἔνδον κελεύει μένειν καὶ πόλεως, καὶ οὐκ ἔνδον αὐλῆς προαπολλύει. ἵνα οὖν μὴ καὶ ἐφ' ὑμῖν τοῦτο συμβαίνῃ, φησὶ· δεῖ πρὸς ⓦ διπλοῦν θάνατον ὑμᾶς παρατάξασθαι. καὶ γὰρ καὶ νῦν πόλεμος δυσαρπίστως ἔσθαι μέλλει χαλεπός. μὴ τοίνυν καθίσῃς ἔνδον, ἀλλ' ἔξελθε καὶ πολέμει· κἂν πέσῃς ἐν τῇ παρατάξει, τότε ἔζησας. Εἰ γὰρ ὅτι τῶν ἀθλητῶν πολεμῶν ὁ παρατεταγμένος εἰς σφαγὴν, οὗτος τῶν ἄλλων εὐδοκιμώτερος μᾶλλον καὶ ἀνάλωτός ἐστι, καὶ τοῖς πολεμίοις φοβερώτατος, καίτοιγε μετὰ θάνατον οὐκ ἰσχύοντος αὐτὸν ἀναῤῥῆξαι τὸ βασιλέως ἀπαρ δὲ καὶ ὅπλα λύ-

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ῆται· πολλῷ μᾶλλον ὅτι τῶν πολέμων τούτων, ὅτε καὶ δυνάσεως ἐλπίδες τοσαῦται, ὁ σωζόμενος εἰς θάνατον τὴν ἑαυτοῦ ψυχὴν εὑρήσει αὐτήν· ἐνὶ μὲν οὖν εἰπεῖν, ὅτι οὐ ταχέως ἀλώσεται· δευτέρῳ δ' ὅτι, κἂν πέσῃ, ὅτι μείζονα αὐτὴν χρηματίσει ζωήν. εἶτα ὅπερ εἶπεν, ὅτι ὁ θέλων σῶσαι, ἀπολέσει αὐτήν, ὃς δ' ἂν ἀπολέσῃ, σώσει, κἀκεῖ σωτηρίαν καὶ ἀπώλειαν καὶ ἐνταῦθα σωτηρίαν καὶ ἀπώλειαν τέθεικεν, ἵνα μὴ νομίσῃς ἴσην τὴν ἀπώλειαν τὴν καὶ ἐνταῦθα καὶ ἐκείνην καὶ τὴν σωτηρίαν, ἀλλὰ μάθῃς σαφῶς ὅτι τοσοῦτον ἐκείνης τῆς σωτηρίας καὶ ταύτης ὁ μέσον, ὅσον ἀπωλείας καὶ σωτηρίας, καὶ ἐκ τῶν ἐναντίων καθάπαξ ἐπάγει ταῦτα κατασκευάζων. Τί γὰρ ὠφελήσει ἄνθρωπος, φησίν, ἐὰν τὸν κόσμον ὅλον κερδήσῃ, τὴν δὲ ψυχὴν αὐτοῦ ζημιωθῇ; εἶδες πῶς ἡ τοῦ κακοῦ ὁ δεινὸν αὐτῆς σωτηρία ἀπώλεια, καὶ ἀπωλείας ἀπάσης χείρων, ἅτε καὶ ἀνίατος οὖσα, τῷ μηδὲν εἶναι λοιπὸν ὁ ἐξωνούμενον αὐτήν; μὴ γάρ μοι λέγε τοῦτό, φησιν, ὅτι τὴν ψυχὴν αὐτοῦ ἔσωσεν ὁ κινδύνους ἀφύκτους τοιούτους, ἀλλὰ μετὰ τῆς ψυχῆς αὐτοῦ πάντα καὶ τὰ τοῦ οἰκουμένου ἅπαντα. καὶ τί τὸ πλέον ἐντεῦθεν αὐτῷ ἐκείνης ἀπολλυμένης; εἰπέ γάρ μοι, εἰ τὸν οἰκέτας ἴδοις τὸν σὸν σὺ τρυφῇ, σαυτὸν δὲ ἐν κακοῖς ἑκάστοις, ἆρα κερδανῇς ἐκ τοῦ δεσπότης εἶναι; οὐδαμῶς. τοῦτο τοίνυν καὶ ὅτι τῆς ψυχῆς λογίζου· ὅταν τῆς σαρκὸς τρυφώσης καὶ πλουτούσης, αὕτη τὴν μέλλουσαν ἀπώλειαν ἀναμένει. Τί δώσει ἄνθρωπος ἀντάλλαγμα τῆς ψυχῆς αὐτοῦ; πάλιν ἐπιμένει τῷ αὐτῷ. μὴ γὰρ ἕτερον ψυχὴν ἔχεις δοῦναι ἀντὶ ψυχῆς, φησιν; χρήματα μὲν γὰρ ἂν ἀπολέσῃς, δυνήσῃ δοῦναι χρήματα, κἂν οἰκίαν, κἂν ἀνδράποδα, κἂν ὁτιοῦν ἕτερον τῶν κτημάτων· ψυχὴν δ' ἂν ἀπολέσῃς, ἕτερον δ' δυνήσῃ ἐπιδοῦναι ψυχήν· ἀλλὰ κἂν τὸν κόσμον ἔχῃς, κἂν βασιλεὺς τῆς οἰκουμένης ᾖς, οὐκ οἷός τε ἔσῃ τὰ τῆς οἰκουμένης πάντα καταδεχόμενον μετὰ τῆς οἰκουμένης αὐτὴν ψυχὴν ἀναθέσθαι μίαν. καὶ τί θαυμαστόν, εἰ ἐπὶ ψυχῆς ἔστι συμβαίνει; καὶ γὰρ καὶ ἐπὶ σώματος ἔστιν ἰδεῖν ὅτις ἂν. κἂν μυρία δέγδήματα περικείμενος ᾖς, σῶμα δ' ἔχῃς ἐπίνοσον φύσει καὶ ἀνιάτως ἔχον, οὐ δυνήσῃ, κἂν τὴν βασιλείαν ἅπασαν ἐπιδῷς, τὸ σῶμα διορθώσασθαι τοῦτο, κἂν μυρία σώματα περιθῇς καὶ πόλεις καὶ χρήματα. οὕτω τοίνυν καὶ ὅτι τῆς ψυχῆς λογίζου μᾶλλον δ' καὶ πολλῷ πλέον ὅτι τῆς ψυχῆς, καὶ πάντα τὰ ἄλλα ἀφεὶς, εἰς ταύτην ἅπασαν ἀναλίσκε τὴν σπουδήν. μὴ δὴ τῶν ἀλλοτρίων φροντίζων ἀμέλει σαυτοῦ καὶ τῶν σῶν· οὐκοῦν ἅπαντες ποιοῦσιν, ἐοικότες τοῖς τὰ μέταλλα ἐργαζομένοις. οὐδὲ γὰρ ἐκείνοις ὄφελος τῆς ἐργασίας ταύτης, οὐδὲ τοῦ πλούτου· ἀλλὰ καὶ πολὺ τὸ βλάβος, ὅτι τοσούτοις κινδύνοις ἐκείθεν, καὶ ὅτι ἑτέροις κινδυνεύουσιν, οὐδὲν ἐκ τῶν ἱδρώτων ἐκείνων καὶ τῶν θανάτων καρπούμενοι. τοιοῦτος καὶ νῦν εἰσι πολλοὶ οἱ μεμυθυμένοι, οἱ ἑτέροις μεταλλεύοντες πλοῦτον, μᾶλλον δὲ καὶ τούτων ἀθλιώτεροι, ὅσῳ καὶ γέεννα ἡμᾶς δυναμένη μετὰ τούτων πόνους τοιούτους. ἐκείνους μὲν γὰρ ἴσως τῶν ἱδρώτων ἐκείνων ὁ θάνατος· ἡμῖν δὲ ἀρχὴ μυρίων κακῶν ὁ θάνατος. Εἰ δὲ λέγῃς ὅτι "ἀπολωλύεις τῶν σῶν πόνων πλοῦτον, δεῖξον τὴν ψυχὴν δυφθαρεῖσαν, καὶ τότε πείθομαι. τῶν γὰρ ἐν ἡμῖν κρειττόνων ἡ ψυχή. Εἰ δὲ τὸ σῶμα πταίνει, τὴν κολάσεως ἐκείνης, οὐδὲν αὕτη πρὸς σὲ ἡ δύθυμία· ὥσπερ οὖν τῆς δούλης δυφθαρείσης, οὐδὲν πρὸς τὸν δέσποινα ἀπολλυμένου ἡ τῆς θεραπαινίδος δύμορφία, οὐδὲ ἡ τῆς κόλης εὐκοσμία πρὸς τὸν τῆς σαρκὸς ἀσθενοῦντα· ἀλλ' ἐρεῖ σοι πάλιν ὁ Χριστός· Τί δώσει ἄνθρωπος ἀντάλλαγμα ὑπὲρ τῆς ψυχῆς αὐτοῦ; δῶ κἀκεῖ πρὸς ἐκείνην σε τρέφεσθαι κελεύων τὴν αὐτῆς μόνης ποιεῖσθαι λόγον. Φοβήσας τοίνυν ἐντεῦθεν καὶ ἀπὸ τῶν ἀγαθῶν προσαγαγών.

27 Μέλλει γὰρ ὁ υἱὸς τοῦ ἀνθρώπου, φησίν, ἔρχεσθαι ἐν τῇ δόξῃ τοῦ πατρὸς αὐτοῦ μετὰ τῶν ἀγγέλων αὐτοῦ, καὶ τότε ἀποδώσει ἑκάστῳ κατὰ τὰ ἔργα καὶ τὴν πρᾶξιν αὐτοῦ.

Εἶδες πῶς δόξα μία πατρὸς καὶ υἱοῦ; Εἰ δὲ δόξα μία, ἔνδηλον ὅτι καὶ οὐσία μία. Εἰ γὰρ
κ. Κορ. ιε. μα. ἐν οὐσίᾳ μιᾷ διαφορὰ δόξης (Ἄλλη γὰρ δόξα ἡλίου, καὶ ἄλλη σελήνης, καὶ ἄλλη δόξα ἀστέρων· ἀστὴρ γὰρ ἀστέρος διαφέρει ἐν δόξῃ, καίτοι μιᾶς ὄντος οὐσίας) πῶς δὴ ὢν ἡ δόξα μία, ἡ οὐσία

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ὐσία ἑτέρα νομισθῇ; οὐδὲ γὰρ εἶπεν, ἐν δόξῃ τοιαύτῃ οἵᾳ ὁ πατήρ, ἵνα πάλιν τῷ ἀγγελῳ ἴσα ἰσοστασίαν· ἀλλὰ ὃ ἀπαιτοῦμενον δείκνυσι, ἐν αὐτῇ ἐκείνῃ τῇ δόξῃ, φησίν, ἧξει, ὡς μίαν αὐτὴν ἰσοπολιτείαν ἔχοντα καὶ τὴν αὐτήν. Τί τοίνυν φοβῇ Πέτρε, φησί, θάνατον ἀκούων; ὅτε με γὰρ ὄψῃ ἐν τῇ δόξῃ τοῦ παιδός. Εἰ δὲ ἐγὼ ἐν δόξῃ, καὶ ὑμεῖς. οὐδὲ γὰρ μέχρι τοῦ παρόντος βίου τὰ ὑμέτερα· ἀλλ' ἑτέρας ὑμᾶς ἀξιοῖ λῆξις ἀμείνων. ἀλλ' ὅμως εἰπὼν τὰ χρηστά, οὐκ ἔστη μέχρι τούτου, ἀλλὰ καὶ τὰ φοβερὰ ἀνέμιξε, ὃ δικαστήριον ἐκάθισεν εἰς μέσον ἀγαγών, καὶ τὰς εὐθυώνας τὰς ἀποδοτικὰς, καὶ τὸν ζῆφον τὸν ἀδέκαστον, καὶ τὸν κρίσιν τὸν ἀνεξαπάτητον. οὐ μὴν ἀφῆκε σκυθρωπὸν μόνον φαντάσαι τὸν λόγον, ἀλλὰ καὶ χρηστοῖς ἀνέμιξεν ἐλπίσιν. οὐδὲ γὰρ εἶπε, τότε κολάσει τοὺς ἁμαρτηκότας, ἀλλ' ἀποδώσει ἑκάστῳ κατὰ τὰ ἔργα αὐτοῦ. τοῦτο δ' ἔλεγλε, οὐχὶ τοὺς ἁμαρτηκότας κολάσεως ἀναμιμνήσκων μόνον, ἀλλὰ τοὺς καταρθωκότας βραβείων καὶ στεφάνων.

Αλλ' αὐτὸς μὲν, ἵνα καὶ τοὺς ἀγαθοὺς ἀνδρας ἀνακλήσηται, ταῦτα εἰρηκεν· ἐγὼ δ' φείσῳμαι ἀεὶ ΗΘΙΚΟΝ
τῶν τοιούτων ἀκούων. οὐ γὰρ εἰμὶ τῶν στεφανουμένων. οἶμαι δ' καὶ ἑτέρους ἡμῖν κοινωνεῖν τοῦ φόβου καὶ τῆς ἀγωνίας. Ἵνα γὰρ οὐχ ἱκανὸν τοῦτο ποιῆσαι τὸ ῥῆμα, εἰς τὸ Ζακχαίου εἰσελθόντα τὸ ἐαυτοῦ, καὶ ποιῆσαι φρίξαι, καὶ πεῖσαι ὅτι σάκκου ἡμῖν χρεία, καὶ νηστείας ἔπιτεταμένης μᾶλλον, ἢ τοῦ δήμου τῶν Νινευϊτῶν; οὐ γὰρ τῆς καταστροφῆς πόλεως καὶ τῆς κοινῆς τελευτῆς ὁ λόγος ἡμῖν· ἀλλὰ τῆς κολάσεως τῆς ἀιωνίου, καὶ τοῦ πυρὸς τοῦ μὴ σβεννυμένου. διὰ καὶ εἰς τὰς ἐρήμους κατειληφότας μοναχοὺς ἐπαινῶ καὶ θαυμάζω, τῶν τε ἄλλων ἕνεκεν, καὶ διὰ ταύτην τὴν ῥῆσιν. ἐκεῖνοι γὰρ μετὰ τὸ ἀριστοποιήσασθαι, μᾶλλον δ' μετὰ τὸ δεῖπνον (ἄριστον γὰρ οὐκ ἴσασί ποτε. καὶ γὰρ ἴσασιν ὅτι πένθους ὁ πρωϊνὸς καιρὸς καὶ νηστείας) μετὰ τὸ δεῖπνον λέγοντες ὕμνους διαφερτικοὺς εἰς τὸν Θεὸν, καὶ ταύτης μεμνῆσθαι τῆς φωνῆς. καὶ εἰ βούλεσθε καὶ αὐτῶν ἀκοῦσαι τῶν ὕμνων, ἵνα καὶ αὐτοὶ λέγητε συνεχῶς, πᾶσαν ὑμῖν ἀπαγγέλλω τὴν ᾠδὴν ἐκείνην τὴν ἱερὰν. ἔχει τοίνυν τὰ ῥήματα αὐτῆς ὧδε· Εὐλογητὸς ὁ Θεὸς ὁ "
τρέφων με ἐκ νεότητός μου, ὁ διδοὺς τροφὴν πάσῃ σαρκὶ, πλήρωσον χαρᾶς καὶ εὐφροσύνης "
τὰς καρδίας ἡμῶν, ἵνα πάντοτε πᾶσαν αὐτάρκειαν ἔχοντες, περισσεύωμεν εἰς πᾶν ἔργον ἀ- "
γαθὸν ἐν Χριστῷ Ἰησοῦ τῷ Κυρίῳ ἡμῶν, μεθ' οὗ σοὶ δόξα, τιμὴ, κράτος σὺν ἁγίῳ πνεύματι "
εἰς τοὺς αἰῶνας, ἀμήν. δόξα σοι Κύριε· δόξα σοι ἅγιε· δόξα σοι βασιλεῦ, ὅτι ἔδωκας "
ἡμῖν βρώματα εἰς εὐφροσύνην. πλῆσον ἡμᾶς πνεύματος ἁγίου, ἵνα εὑρεθῶμεν ἐνώ- "
πιόν σου ἐυαρεστήσαντες καὶ μὴ αἰσχυνόμενοι, ὅτε ἀποδίδως ἑκάστῳ κατὰ τὰ ἔργα αὐτοῦ. πάντα "
μεθ' ὧν ἄξιον θαυμάσαι ὕμνον τοῦτον· μάλιστα δ' ὅτι τὸ τέλος. ὅπου γὰρ ἡ τράπεζα καὶ ἡ ἐσθὴς διαχέειν εἴωθε καὶ βαρύνειν, καθάπερ ἵνα χαλινὸν τὴν ῥῆσιν ταύτην ἐπιτιθέασι τῇ ψυχῇ, τοῦτο καὶ τοῦ κινδύνου τῆς ἀνέσεως τοῦ κινδύνου τῆς κρίσεως αὐτὴν ἀναμιμνήσκοντες. ἐ- Δαυτ. λϛ. ιθ.
μαθον γὰρ ἃ ἔπαθεν Ισραὴλ ἀπὸ τραπέζης πολυτελοῦς. Εφαγε γὰρ καὶ ἐπαχύνθη καὶ ἀ- Δαυτ. λϛ. ιθ.
πῄσθησεν ὁ ἠγαπημένος· διὰ καὶ Μωϋσῆς ἔλεγε· Φαγὼν καὶ πιὼν δὲ ἐμπλησθεὶς μνήσθητι Δευτ. γ. ιε. ιϛ.
Κύριον τὸν Θεόν σου. μετὰ γὰρ ἐκείνην τὴν τράπεζαν, τὰ ξένοια αὐτοῖς ἐτολμήθη τότε ἐκεῖνα τολμήματα. σκόπει τοίνυν δὲ σὺ, μὴ τοιοῦτόν τι πάθῃς. κἂν γὰρ μὴ λίθῳ θύσῃς μηδὲ χρυσῷ καὶ ἀργύρῳ καὶ μόχλοις, σκόπει μὴ θυμῷ θύσῃς τὸν σαυτοῦ ψυχήν· μὴ πορνείᾳ θύσῃς τὸ σωτήριόν σου σῶμα· μὴ ἑτέροις τοιούτοις πάθεσι. διὰ γάρ τοι τοῦτο καὶ ἐκεῖνοι τοῦ κρημνοὺς δεδοικότες τούτους, τραπέζης ἀπολαύσαντες, μᾶλλον δ' νηστείας (καὶ γὰρ καὶ ἡ τράπεζα αὐτῶν νηστεία) τοῦ φοβεροῦ δικαστηρίου, καὶ τῆς ἡμέρας ἐκείνης ἑαυτοὺς ἀναμιμνήσκουσιν. εἰ δ' ἐκεῖνοι οἱ τῆς νηστείας, καὶ χαμεύνιαις, καὶ ἀγρυπνίαις, καὶ σάκκῳ, καὶ μυρίοις ἑαυτοὺς σωφρονίζοντες, ἔτι καὶ ταύτης δέον) τῆς ὑπομνήσεως· πόσῃ δυνησόμεθα ἡμεῖς ἐκτὸς ζῆν, οἱ τραπέζας καθ' ἑκάστην μυρία ναυάγια φερούσας, καὶ μηδὲ ὅλως εὐχόμενοι, μήτε ἐν ἀρχῇ, μήτε ἐν τέλει; διὰ τοῦτο ἵνα τὰ ναυάγια ταῦτα λύσωμεν, τὸν ὕμνον ἐκεῖνον εἰς μέσον ἀγαγόντες ἀναπτύξωμεν πάντα·

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ἵνα δ' ὀξ αὐτῶ κέρδος ἰδόντες, ἡ αὐτοὶ ζωεχῶς ἐπαίδωμθ αὐτὸν τῇ τραπέζῃ, ὲ τὰ σωρτήμματα τῆς γαστρὸς καταστέλλωμθ, ἡ τὰ ἤθη ἡ τοὺς νόμους τῶν ἀγέλων ἐκείνων εἰς τὰς οἰκίας εἰσάγοντες τὰς ἡμετέρας. ἔδει μὲν γὰ βαδίζοντας ἐκεῖ, ταῦτα καρποδοθαι· ὅπῳ δ' ἃ βούλεθε, κἂν ἀφ' ἑνὸς τῶν ἡμετέρων λόγων ἀκούσατε τῆς πνθυματικῆς ταύτης μθγωδίας, ἡ ἔκστος μ' τὴν τράπεζαν ταῦτα λεγέτω τὰ ῥήματα, ἀεχόμθνος ὅτως· εὐλογητὸς ὁ Θε- 5
Κολ.γ. ιζ. ὸς. ⓦ γὰ ἀποστολικὸν εὐθέως πληροῦσι νόμον ⓦ κελεύοντα· Πᾶν ὅτιοῦν ποιοῦμθν ἐν λόγῳ ἢ ἐν ἔργῳ, ἐν ὀνόματι τ̃ Κυρίου ἡμῶν Ἰησ̃ Χριστοῦ, εὐχαριστοῦντες τῷ Θεῷ ἡ πατρὶ δι' αὐτ̃. Εἶτα ἡ εὐχαριστία οὐχ ὑπὲρ τῆς μιᾶς ἡμέρας ἐκείνης μόνης, ἀλλ' ὑπὲρ πάντος τ̃ βίου χ̃ῡ. ὁ τρέφων γάρ μέ, φησιν, ἐκ νεότητός μθ. ἡ διδασκαλία φιλοσοφίας ἐντεῦθεν. ἡ γὰ Θεοῦ τρέφοντος, οὐ χρὴ μεριμνᾶν. Εἰ γὰ βασιλέως σοι ὑποχρθμοῦν πρ̃ ἔχειν ἐκ 10
τῶν αὐτ̃ ταμείων τὴν καθημερινὴν τροφὴν, ἐθαῤῥησας ἂν λοιπόν· πολλῷ μᾶλλον ὅταν ὁ Θεὸς πρ̃ ἔχῃ, ὲ πάντα σοι ὥσπερ ἐκ πηγῶν ἐπιῤῥέῃ, πάσης φροντίδος ἀπαλλάττθαι δεῖ. Διὰ γὰρ τ̃το ἡ ταῦτα λέγεται, ἵνα ἡ ἑαυτοὺς καὶ εἰς ὑπ' αὐτῶν μαθητθομθίους πείσωσι πᾶσαν φροντίδα ἀποδύσασθαι καὶ μεριμναν βιωτικήν. Εἶτα, ἵνα μὴ νομίσῃς ὅτι 15
ὑπὲρ ἑαυτῶν μόνων τὴν εὐχαριστίαν ταύτην ἀναφέρουσιν, ἐπάγουσι λέγοντες, ὁ δοὺς τροφὴν πάσῃ σαρκί· ὑπὲρ πάντος εὐχαριστοῦντες τ̃ κόσμου· ἡ καθάπερ πατέρες τῆς οἰκουμθνης ἁπάσης, οὕτω τὰς ὑπὲρ ἁπάντων εὐφημίας ἀναφέρουσι, ἡ εἰς φιλαδελφίαν αὐτοὺς ἀλείφουσι γνησίαν. οὐδὲ γὰ δύανται μισεῖν ἐκείνους ὑπὲρ ὧν, ὅτι τρέφονται, εὐχαριστοῦσι τῷ Θεῷ. Εἶδες ἡ τὴν ἀγάπην ἀφ' τῆς εὐχαριστίας εἰσαγομθίην, καὶ μεριμναν 20
ἐκβαλλομθίην βιωτικήν, ἡ ἀφ' τῶν ἐμπροσθεν ἡ ἀφ' τούτων; Εἰ γὰ πᾶσαν τρέφει σάρκα, πολλῷ μᾶλλον τοὺς ἀνακειμθίους αὐτ̃· εἰ γὰρ τοὺς βιωλικῶς ἐνδεδυμθίους φοντίσι, πολ- γρ. τοὺς ἀγε
Λικ. ιβ. ζ. λῷ μᾶλλον τοὺς τούτων ἀπηλλαγμένους. τ̃το καὶ ὁ Χριστὸς κατασκυάζων ἔλεγε· Πόσων προβάτων διαφέρετε ὑμεῖς; ταῦτα δ' ἔλεγε, παθθλων μὲν θαῤῥῆσαι πλούτῳ ἡ γῇ καὶ σπέρμασιν· οὐ γὰρ ταῦτά ἐστι τὰ τρέφοντα· ἀλλ' ὁ λόγος τ̃ Θεοῦ. ἀπὸ τούτων καὶ Μανιχαίους, καὶ τοὺς Ουαλεντίνου, ὲ πολλοὺς τοὺς τὰ ἐκείνων φρονοῦντας βπισομίζονται. οὐ γαρ δὴ καὶ 25
πονηρὸς ἑαυτ̃, ὁ πᾶσι τροφὴν τὰ ἑαυ῀ ἡ τοῖς βλασφημοῦσιν αὐτόν. Εἶτα ἡ αἴτησις· πλήρωσον χαρᾶς καὶ εὐφροσύνης τὰς καρδίας ἡμῶν. ποίας ἀρα χαρᾶς λέγει; μὴ τῆς βιωλικῆς; μὴ γένοιτο. οὐ γὰρ ἂν, εἰ ταύτην ἤθελον, ὁρᾶν κορυφὰς κατελθόμθνον καὶ ἐρημίας, ἡ σάκκον περιεβάλοντο· ἀλλ' ἐκείνην λέγουσι τὴν χαρὰν, τὴν οὐδὲν κοινὸν ἔχουσαν πρὸς ⓦ πρόσκαιρον βίον, τὴν τῶν ἀγέλων, τὴν ἄνω. ἡ ὐχ ἁπλῶς αὐτὴν αἰτοῦσιν, ἀλλὰ μ' πολ- 30
λῆς τῆς ὑπὲρ βολῆς. οὐ γὰρ λέγουσι, δός, ἀλλὰ πλήρωσον· ἡ οὐ λέγουσιν ἡμᾶς, ἀλλὰ
Γαλ. ε. κβ. τὰς καρδίας ἡμῶν. αὕτη γὰ μάλιστα καρδίας χαρά. Ὁ γὰρ καρπὸς τ̃ πνθύματος, ἀγάπη, χαρά, εἰρήνη. ὅπῳ γὰ ἡ ἁμαρτία λύπην εἰσήγαγε, ἄξιον δῆτα τῆς χαρᾶς τ̃ δικαιοσύνης αὐτοῖς ἐμφυτευθῆναι. οὐ γὰ ἂν ἄλλως ἐξήκουσε χαρά ἵνα πάντοτε πᾶσαν αὐτάρκειαν ἔχοντες περισσεύωμθ εἰς πᾶν ἔργον ἀγαθόν. ὅρα τὴν διαφέλειαν ἐκείνην 35
Λικ. ια. γ. πληρεστάτην ῥῆσιν, τὴν λέγουσαν· Τὸν ἄρτον ἡμῶν ⓦ ἐπιούσιον δὸς ἡμῖν σήμερον· καὶ ταύτην ὃ αὐτὴν ζητοῦντας ἀφ' τὰ πνθυματικά. ἵνα γὰρ περισσεύωμθ, φησιν, εἰς πᾶν ἔργον ἀγαθόν. οὐκ εἶπον, ἵνα ὃ ὀφειλόμθνον μόνον ποιῶμθ, ἀλλ' ἵνα ἡ πλέον τῶν ὀφειλεταμένων. τοῦτο γάρ ἐστιν, ἵνα περισσεύωμθ. ἡ διὰ μὲν τ̃ Θεοῦ τὴν αὐτάρκειαν ζητοῦσιν ἐν τοῖς ἀναγκαίοις· αὐτοὶ ὃ δ' μ' αὐταρκείας βούλονται ὑπερακυεῖν μόνον, ἀλλὰ μ' περιουσίας πολλῆς, ἡ ἐν ἅπασι. τοῦτο δοὺλων βυγνωμόνων, τοῦτο φιλοσόφων ἀνδρῶν, ὃ ἀεὶ ὲ ἐν πᾶσι περισσεύειν. Εἶτα πάλιν ἀναμιμνήσκοντες ἑαυτοὺς τὴν οἰκείαν ἀσθένειαν, ἡ ὡς οὐδὲν ἄνθρ τῆς ἀνωθεν ῥοπῆς γενναῖον δύασθαι γενέσθαι, εἰπόντες, ἵνα περισσεύωμθ εἰς πᾶν ἔργον ἀγαθόν, ἐπάγουσιν, ἐν Χριστῷ Ἰησοῦ τῷ Κυρίῳ ἡμῶν, μθ' ὃ σοὶ δόξα, κ- μὴ

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

μὴ ϗ κεῖτος εἰς τὸν ἀγῶνας ἀμιλῶ. ἴσον τῇ ἀρχῇ τὸ τέλος ὑφαίνοισι δι' τῆς θυσιαστηρίας. Εἶτα πάλιν δοκοῦσι μὴ ὀκ ἀσεβοιμίων ἄρχεσθαι, τ' αὐτὸ ἃ ἔχονται λόγου· ὥσπερ δὲ ὁ Παῦλος ὀν ἀσεβοιμίῳ ὑπισολῆς καταλύσας εἰς δοξολογίαν ϗ εἰπών, Κατὰ θέλημα τοῦ Θεοῦ ϗ πατρὸς, ᾧ ἡ δόξα εἰς τοὺς αἰῶνας ἀμήν, ἄρχεται τῆς ἐπισολῆς πάλιν ὡσαύτως ἐκ τῆς ἐγραφε. ϗ πάλιν ἄλλαχοῦ εἰπών· Εσεβάσθησ ϗ ἐλάτρευσαν τῇ κτίσει ἀντὶ τοῦ κτίσαντα, ὅς ἐστιν εὐλογητὸς εἰς τοὺς αἰῶνας ἀμήν, οὐκ ἀπήρτισε τὸν λόγον, ἀλλ' ἔχεται πάλιν. μὴ τοίνυν μηδὲ τούτοις ἐγκαλῶμεν τοῖς ἀγνέλοις ὡς ἀτάκτως ποιοῦσιν, ὅτι καταλύσαντες τὸν λόγον εἰς δοξολογίαν, πάλιν ἄρχονται τῶν ὕμνων τῶν ἱερῶν. ἀποστολικοῖς γὰρ ἕπονται νόμοις, ἀπὸ δοξολογίας ἀρξάμενοι, καὶ εἰς τοῦτο τελευτῶντες, ϗ μετὰ τὸν τελευτὸν τοῦτον ἀσεβοιμαζόμενοι πάλιν. διὰ λέγουσι· δόξα σοι Κύριε, δόξα σοι ἅγιε, δόξα σοι βασιλεῦ, ὅτι ἔδωκας ἡμῖν βρώματα εἰς εὐφροσύνην. οὐδὲ γὰρ ἐπὶ τῶν μεγάλων μόνον, ἀλλὰ ϗ ἐπὶ τῶν μικρῶν δεῖ εὐχαριστεῖν. εὐχαριστοῦσι δὲ ϗ ἐπὶ τούτων, καταγελῶντες τοῦ τῶν Μανιχαίων αἱρέσιν, ϗ ὅσοι τοῦ πρόσωπον ζωὸν πονηρὸν εἶναι λέγουσιν. ἵνα γὰρ μὴ διὰ τὸν ἄκρων φιλοσοφίαν ϗ τὸν ἐπιφυῆ τῆς γαστρὸς ἐπιπεύσης ἐκεῖ αὐτῶν ὡς ἀδιάφορα βδελυπτόμενον, οἷς ἐκείνων τῶν ἀπαγχονιζόντων ἑαυτοὺς, διὰ τῆς εὐχῆς σε παιδεύουσιν, ὅτι οὐ βδελυπτόμενοι ἀλλὰ κτίσματα τοῦ Θεοῦ τῶν πλειόνων ἀπέχονται, ἀλλ' ἡ φιλοσοφίαν ἀσκοῦντες. ϗ ὅρα πῶς ἀπὸ τῆς εὐχαριστίας τῶν ἡδέων δοθέντων, ϗ ἐκεῖ τὰ μείζονα δυσωποῦσι, ϗ οὐ μόνον ὅτι τὰ βιωτικὰ, ἀλλὰ ἀναβαίνουσι ἐπὶ τοὺς οὐρανοὺς, ϗ φασι· " πλῆσον ἡμᾶς πνεύματος ἁγίου. οὐδὲ γὰρ ὅσιν εὐδοκιμεῖν, ὡς χρὴ, μὴ πληρωθέντα τῆς χάριτος ἐκείνης· καθάπερ οὖν ἐστι γλυκαῖον ϗ ποιᾷ ἡ μέλισσα, μὴ τὰς τοῦ Χριστοῦ ῥοπὰς ἀπολαύσαντα. ὥσπερ οὖν εἰπόντες, ἵνα πεισευσώμεν εἰς πολὺ ἔργον ἀγαθὸν, ἐπήγαγον, ἐν Χριστῷ Ιησοῦ· οὕτω ϗ ἐνταῦθα λέγουσι, πλῆσον ἡμᾶς πνεύματος ἁγίου, ἵνα εὑρεθῶμεν ἐνώπιόν σου " εὐαρεστήσαντες, ϗ μὴ ἀδοκιμάσθημοι. οὐ γὰρ μέλει ἡμῖν τῶν παρὰ τῶν πολλῶν ἀδοξίας, φησὶν· ἀλλ', ὅσα αἱ εἰπωσιν ἀδελφοὶ πρὸς ἡμᾶς γελῶντες, ὀνειδίζοντες, ὑβρεφόμεθα· ὁ δὲ ἀγὼν ἡμῶν ἅπας, ὥστε μὴ ὅτε ἀδοκιμασθῶμεν. ὅταν ὑμᾶς ταῦτα εἰπωσι, ϗ τὸ πυρὸς ἐπεισάγωσι ποταμὸν, ϗ τὰ ἐπαθλα ϗ τὰ βραβεῖα. οὐκ εἶπον, ἵνα μὴ κολασθῶμεν, ἀλλ' ἵνα μὴ ἀδοκιμασθῶμεν. τοῦτο γὰρ ἡμῖν πολὺ φοβερώτερον γεέννης, τὸ δόξαι παρὰ τοῖς ἀκροατὴς. ἀλλ' ὅμως τοῦ πολλοὺς δὲ φοβεῖ τοῦτο ϗ παχυτέρους, ἐπάγουσιν· ὅτε ἀποδίδως ἑκάστῳ κατὰ τὰ ἔργα αὐτοῦ. εἶδες ἡλίκα ἡμᾶς ὠνησαν ὁ ξένοι ϗ παρεπίδημοι ὄντες, ὁ τῆς ἐρήμου πολῖται· μᾶλλον δὲ ὁ τῶν ἀγρίων πολίτας; ἡμεῖς μὲν γὰρ τῶν ἀγρίων ξένοι, πολῖται δὲ τῆς γῆς· " ὅτοι δὲ ἐναντίον. μετὰ δὲ ὁ ὕμνον τοῦτον πολλῆς ἐμπλησθέντες κατανύξεως ϗ θερμῶν ϗ πολλῶν δακρύων, ὥσπερ ὑπὸ τὸν ὕπνον βαδίζουσι, τοσοῦτον ἀπονοήσαντες, ὅσον μικρὸν ἀναπαύσασθαι· ϗ πάλιν ὡς νύκτας ἡμέρας ποιοῦσιν, ὁ εὐχαριστίας ϗ " ὑμνῳδίας διάγοντες. οὐκ ἄνδρες δὲ μόνον, ἀλλὰ ϗ γυναῖκες ταύτην ἀσκοῦσι τὴν φιλοσοφίαν, τὴν ἀνθένειαν τῆς φύσεως τῇ προθυμίας νικῶσαι. ἀγωνισώμεθα τοίνυν τὸν ἐκείνων ἀγῶνα ὁ ἄνδρες ἡμεῖς, ϗ παυσώμεθα τοῖς πρόσω ἀσκητικοῖς, τῇ σιᾷ, τοῖς ὀνείδεσι, τῇ καπνῷ. ϗ γὰρ τὸ πλέον τῆς ζωῆς ἡμῶν ὁ ἀναισθησία. ἤ τε γὰρ προφθὰ ἡλικία πολλῆς γέμει τῆς ἀνοίας· ἡ δὲ πρεσβῦς ὁ γῆρας ὁδοῦσα πάλιν πᾶσαν τὴν ὁ ἡμῖν ἀίσθησιν καταμυδαίνει, ϗ ὀλίγον ἐστὶ τὸ μέσον ὁ δυναάμενον μετ' αἰσθήσεως τρυφῆς ἀπολαῦσαι· μᾶλλον δὲ ὁδὲ σκῆνο καθαρὸς τότε μετέχει, μυρίων φροντίδων ὁ πόνων λυμαινομένων " αὐτό. διὸ * πρόσκαλα, ὁ ἀκίνητα ὁ ἀθάνατα ζητήσωμεν ἀγαθὰ, ϗ τὴν ζωὴν τὴν ὁδέποτε γῆρας ἔχουσαν. ἔστι γὰρ ϗ πόλιν οἰκητῶτα, τὴν τῶν μοναχῶν φιλοσοφίαν " ζηλῶσαι. ἔστι ϗ γυναῖκα ἔχοντα, ϗ ὁν οἰκία τρεφόμενον ϗ ἐυχεσθαι ϗ νηστεύειν ϗ κατανύσσεσθαι. ἐπεὶ ὁ πρὸς τὴν ἀρχὴν ϗ τὸν ἀποστόλων

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ἀποστόλων κατηχηθέντες τὰς μὴ πόλεις ᾠκησω, τῷ ὃ τὰς" ἐρημίας κατειληφότων τὴν ἀλήθειαν ἐπεδείκνυντο· καὶ ἕτεροι ὁ πάλιν ἐργασηρίων προεστηκότες, ὡς Πρίσκιλλα & Ἀκύλας. καὶ ⓐ προφῆται ὁ πρώτως καὶ χωλαίκης εἶχον καὶ οἰκίας, ὡς ὁ Ησαΐας, ὡς ὁ Ιεζεκιὴλ, ὡς ὁ μέγας Μωϋσῆς, καὶ οὐδὲν ἀντεῦθεν εἰς ἀρετὴν προεβλάβησαν. τοῦτος δὴ καὶ ἡμᾶς ζηλώσαντες, ἵνα μὲ πρώτως εὐαρεστήσωμεν τῷ Κυρίῳ, εἶτα πρώτως ὑμνῳδῶμεν αὐτὸν, καὶ σωφροσύνης καὶ τῶν ἄλλων ἀρετῶν ἐπιμελώμεθα, & τὴν ἐν ταῖς ἐρημίαις φιλοσοφίαν εἰς τὰς πόλεις εἰσαγάγωμεν· ἵνα καὶ τῷ μὲ Θεῷ εὐάρεστοι, καὶ τοῖς ὐ θεοῖς δόκιμοι" φανῶμεν, καὶ τῶν μὴ μόντων ἐπιτυχωμεν ἀγαθῶν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ιησοῦ Χριστοῦ, δι' οὗ καὶ μεθ' οὗ τῷ [Θεῷ καὶ] πατρὶ δόξα, τιμὴ καὶ" μεγαλοπρέπεια, ἅμα τῷ ἁγίῳ καὶ ζωοποιῷ πνεύματι, νῦν καὶ ἀεὶ, καὶ εἰς" ἀπεράντους αἰῶνας τῶν αἰώνων. Αμὴν.

Ομιλ. νϛ. 28 ΑΜΗΝ, ΑΜΗΝ, ΛΕΓΩ ΥΜΙΝ, ΕΙΣΙ ΤΙΝΕΣ τῶν ὧδε ἑστηκότων, οἵτινες οὐ μὴ γεύσωνται θανάτου, ἕως ἂν ἴδωσι ⓦ τὸν υἱὸν τοῦ ἀνθρώπου ἐρχόμενον ἐν τῇ βασιλείᾳ αὐτοῦ.

Ἐπειδὴ πολλοὺς εἰς κινδύνων διελέγξει καὶ θανάτου καὶ τῶν παθῶν τοῦ ἑαυτοῦ καὶ τῆς τῶν μαθητῶν σφαγῆς, καὶ τὰ αὐτίκα ἐπέταξεν εἰπεῖν· καὶ τὰ μὲν ἐν τῷ παρόντι βίῳ καὶ ἐν χεροὶ, τὰ ὃ ἀγαθὰ ἐν ἐλπίσι καὶ προσδοκίαις· οἷς ὃ, σώζειν τὴν ψυχὴν οὐκ ἀπολλύειν αὐτὴν· ὃ ἔρχεσθαι αὐτὸν ἐν τῇ δόξῃ τοῦ πατρὸς αὐτοῦ· τὸ ἀποδιδόναι τὰ ἔπαθλα· βουλόμενος δὲ τὴν ὄψιν αὐτῶν πληροφορῆσαι, καὶ δεῖξαι," τί ποτέ ἐστιν ἡ δόξα ἐκείνη, μεθ' ἧς μέλλει προσγίνεσθαι, ὡς ἐγχωρεῖν ἐκ τῶν αὐτοῖς μαθεῖν καὶ τὴν ⓦ παρόντα βίον, δείκνυσιν αὐτοῖς καὶ ἀποκαλύπτει τοῦτο· ἵνα μήτε ὑπὸ τοῦ οἰκείου θανάτου μήτε ὑπὸ τοῦ τοῦ δεσπότου λοιπὸν ἀλίσκωσι, & μάλιστα Πέτρος ὁ θερμότερος. & ὅρα τί ποιεῖ. πρὸς γέεννης καὶ βασιλείας προσαλειφθεὶς (τοῦτο γὰρ εἶπεν, ὁ θύρων τὴν ψυχὴν αὐτοῦ ἀπολέσει αὐτὴν, & ὃς δ' ἀπολέσει αὐτὴν ἕνεκεν ἐμοῦ, εὑρήσει αὐτὴν· καὶ τοῦτο εἰπεῖν, ἀποδώσει ἑκάστῳ κατὰ τὴν πρᾶξιν αὐτοῦ, ἀμφότερα τοῦτα ἐδήλωσε) πρὸς ἀμφοτέρων τοίνυν εἶπων, τὴν μὲν βασιλείαν τῇ ὄψει δείκνυσι, τὴν δὲ γέενναν οὐκ ἔτι. τί δήποτε; ὅτι εἰ μὴ ἄλλοι τίνες ἦσαν παχύτεροι, ἀναγκαῖον καὶ τοῦτο ἦν· ὅπερ ὃ εὐδόκιμοι καὶ εὐγνώμονες, ἀπὸ τῶν χαλεπωτέρων αὐτοῖς ἀνάγει. οὐ μόνον δὲ τοῦτο δείκνυσι τοῦτο, ἀλλ' ὅτι καὶ" αὐτῷ τοῦτο [μᾶλλον] προπαθέστερον ἦν. οὐ μὴν οὐδὲ ἐκεῖνο προσπέχει ὃ μέρος, ἀλλ' ἔστιν ὅπου ἡδέως καὶ τοῦτο ὄψιν αὐτὰ φέρει τὰ σχήματα τῆς γεέννης, ὡς ὅταν τοῦ Λαζάρου τὴν εἰκόνα εἰσάγῃ, καὶ τοῦ ἑκατοντάρχου δωρεὰν ἀπαιτήσαντος μνημονεύῃ, καὶ τοῦ πορφυροβάπτου ἐνδεδυμένου ἱμάτια, καὶ ἑτέρων πλειόνων.

Ακε.ιϛ. Ματθ.ιη. Ματθ. κϛ.

κεφ ιζ. 1 Καὶ μεθ' ἡμέρας ἓξ παραλαμβάνει Πέτρον καὶ Ἰάκωβον καὶ Ἰωάννην.

Ετερος ὁ μετ' ὀκτὼ φησιν, οὐκ ἀντιπυθμὴν τούτῳ, ἀλλὰ καὶ σφόδρα συμφώνων. ὁ μὲν γὰρ & αὐτοῦ τὴν ἡμέραν καθ' ἣν ἐφθέγξατο, καὶ ἐκείνην καθ' ἣν ἀνῆγαγεν, εἶπεν· ὁ ὃ τὰς μεταξὺ τούτων μόνον. σὺ δέ μοι σκόπει πῶς ὁ Ματθαῖος φιλοσοφεῖ, οὐκ ἀποκρυπτόμενος τοὺς ἑαυτοῦ προπηλακισμούς. τοῦτο ὁ καὶ ὁ Ιωάννης πολλαχοῦ ποιεῖ, τὰ ἐξαίρετα τοῦ Πέτρου ἐγκώμια μετὰ πολλῆς ἀναγράφων τῆς ἀληθείας. βασκανίας γὰρ καὶ δόξης κενῆς πολὺ καθαρὸς ἦν ὁ τῶν ἁγίων τούτων χορός. λαβὼν τοίνυν τοὺς κορυφαίους, Αναφέρει εἰς ὄρος ὑψηλὸν κατ' ἰδίαν·

2 Καὶ μετεμορφώθη ἔμπροσθεν αὐτῶν, καὶ ἔλαμψε τὸ πρόσωπον αὐτοῦ ὡς ὁ ἥλιος, τὰ ὃ

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ὑμάτια αὐτῦ γέγονε λευκά, ὡς ὁ φῶς. 3 Καὶ ὤφθησαν αὐτοῖς Μωϋσῆς καὶ Ηλίας συλλαλοῦντες μετ' αὐτῦ.

Διὰ τί τύτους παραλαμβάνει μόνους; ὅτι τῶν ἄλλων ἦσαν ὑπερέχοντες. καὶ ὁ μὲν Πέτρος ἐκ τῦ σφόδρα φιλεῖν αὐτὸν ἐθήλυ τὸ ὑπερόχθον· ὁ δὲ Ιωάννης ἐκ τῦ σφόδρα φιλᾶσθαι· καὶ ὁ Ιάκωβος Πεκ. 1β. α. β.
5 δὲ ἀπὸ τῆς ἀποκρίσεως, ἧς ἀπεκρίνατο μετὰ τὸν ἀδελφὸν λέγων, δυνάμθα πῖσι τὸ ποτήριον· οὐκ ἀπὸ τῆς ἀποκρίσεως δὲ μόνον, ἀλλὰ καὶ ἀπὸ τῶν ἔργων, τῶν τε ἄλλων, καὶ ἀφ' ὧν ἐπλήρωσεν ἅπερ εἶπεν. οὕτω γὰρ λίαν σφοδρὸς ἦν βαρὺς Ιουδαίοις, ὡς καὶ τὸν Ηρώδην ταύτην δωρεὰν μεγίστην νομίσαι χαρίσασθαι τοῖς Ιουδαίοις, εἰ σκῦλον δύηλοι. διὰ τί δὲ μὴ εὐθέως αὐτὸς δύαται; ὥστε μηδὲν παθεῖν δύ, θεφπεύον τὸς λοιπὸς μαθητάς. διὰ τοῦτο σοδὲ τὰ ὀνόματα *λέγει
10 τῶν αἱρέσεων μιγόντων. καὶ γὰρ σφόδρα δὺ ἐπεθύμησαν ὁ μὲν λοιποὶ ἀκολουθῆσαι, καὶ τοῦτο δειλίαμα μέλλοντες τῆς δόξης ἐκείνης ὁρᾶν, ὁ δὲ ἤλγησαν δύ, ὡς προφθέντες. εἰ γὰρ καὶ σωματικώτερον τοῦτο ἐδείκνυ, ἀλλ' ὅμως πολλὴν ἐπιθυμίαν τὸ πρᾶγμα εἶχε. Τί δήποτε οὖν καὶ παραλέγει; ἵνα θύμαθήτερον πρὸς τὴν θεωρίαν γένωνται, ἀφ' ὧν παρεῖπε, καὶ σφοδρότερας ἐν τῇ τῶν ἡμερῶν ἀριθμῷ τῆς ἐπιθυμίας ἐμπλησθέντες, ὥστε ἐκφύσαι καὶ μεμεμνημένην τῇ διανοίᾳ παραγένωνται. Τίνος δ' ἕνεκεν καὶ Μωϋσῆν καὶ Ηλίαν εἰς μέσον ἄγει; πολλὰς ἂν ἔχοι τις εἰπεῖν αἰτίας· ὁ παρὼν μὲν τοῦτο, ὅτι ἐπὶ μὲν ὄχλοι ἔλεγον, μὲν Ηλίαν, μὲν δὲ Ἱερεμίαν, μὲν δέ ἕνα τῶν ἀρχαίων προφητῶν, σὺν κορυφαίοις ἄγει, ἵνα δὲ μέσον καὶ ἐντεῦθεν ἴδωσι τῶν δούλων καὶ τὸ δεσπότου, καὶ τοῦτο διακρίνειν, καὶ ὅτι καλῶς ἐπῃνέθη Πέτρος ὁμολογήσας αὐτὸν υἱὸν Θεοῦ. μετ' ἐκείνου δὲ καὶ ἕτερόν ἐστιν εἰπεῖν. ἐπεὶ γὰρ συνεχῶς ἐνεκάλουν αὐτῷ τὸ παραβαίνειν τὸν νόμον, καὶ βλάσφημον αὐτὸν ἐνόμιζον, ὡς στερεζόμθον δόξαν ὑπὸ προσκύσαι αὐτῷ τοῦ τὸ παθεῖν, καὶ ἔλεγον, Οὗτος οὐκ ἔστιν ἐκ τοῦ Ιωαν. θ. ιϛ.
Θεοῦ, ὅτι τὸ σάββατον οὐ τηρεῖ· καὶ πάλιν, Περὶ καλοῦ ἔργου οὐ λιθάζομέν σε, ἀλλὰ περὶ Ιωαν. ι. λγ.
βλασφημίας, καὶ ὅτι σὺ ἄνθρωπος ὢν ποιεῖς σεαυτὸν Θεόν· ἵνα δειχθῇ ὅτι βασκανίας ἀμφότερα ταῦτα ἐγκλήματα, καὶ ἑκατέρων τούτων ὄντως ἀνάθεμος, καὶ ὅτε νόμου παράβασις τὸ μὴ νόμθον, ὅτε δόξης στερεισμὸς τῆς μὴ προσκυσης, τὸ λέγειν ἑαυτὸν ἴσον τῷ πατρί, τοῦτ' ἐν ἑκατέρῳ λάμψαι θέλει τούτων εἰς μέσον ἄγει. καὶ γὰρ Μωϋσῆς νόμον ἔδωκε, καὶ ἐνδυνάμωτο λογίσασθαι Ιουδαῖοι, ὅτι οὐκ ἀνθρώπινος ἦν ὁ τοιῦδε πατρόθεν αὐτὸν, ὡς ἐνόμιζον, ὄντ' ἀνθρωπον παραβαίνοντα αὐτὸν καὶ τῷ τεθνηκότι πολέμιον ὄντα ἐπεσκήπτειν ἀνθρ. καὶ Ηλίας δὲ ὑπὲρ τῆς δόξης ἀνθρ τοῦ Θεοῦ ἐζήλωσε, καὶ οὐκ ἀνθρ, εἰ ἀνθρώπος ἦν, καὶ Θεὸν ἑαυτὸν ἔλεγεν, ἴσον ἑαυτὸν ποιῶν τῷ πατρί, μὴ ὢν ὅπερ ἔλεγε, μηδὲ προσκόντως τοῦτο ποιῶν, πρέσκη καὶ αὐτὸς καὶ ὑπηκουσεν. ἔστι δὲ καὶ ἑτέραν αἰτίαν εἰπεῖν μετὰ τῶν εἰρημένων. ποίαν δὴ ταύτην; ἵνα μάθωσιν, ὅτι καὶ θανάτου καὶ ζωῆς δεσποσίαν ἔχει, καὶ τῶν ἄνω καὶ τῶν κάτω κρατεῖ, διὰ τοῦτο καὶ τοὺς τετελευτηκότας, καὶ προσέπεσον τοῦτο παθόντα εἰς μέσον ἄγει. τὸν δὲ πέμποντα αἰτίαν (πέμπει γὰρ αὐτὸν ὁ πατὴρ εἰς τὰς εἰρημένας) καὶ αὐτὸς ὁ εὐαγγελιστὴς ἀπεκάλυψε. τίς δὲ ἦν αὕτη; δεῖξαι τὸ σαφὲς τοῦ δόξης, καὶ παραμυθήσασθαι τοὺς Πέτρον καὶ ἐκείνους δεδοικότας τὸ πάθος, καὶ λύσασαν αὐτῶν τὰ φρονήματα. καὶ γὰρ παραλυόμθοι οὐκ ἐσίγων, Λοιδορία ὁ παθος Αλλ' ἐλάλουν, φησί, τοῦ δόξης, ἣν ἔμελλε πληροῦν ἐν Ιερουσαλήμ, τοῦτ' ἔστι, τὸ πάθος λκ. θ. λε.
καὶ τὸν σταυρόν· οὕτω γὰρ αὐτὸ καλοῦσιν ἀεί. τὸ δὲ τὴν δόξαν μόνον αὐτοῦ ἔλαμψεν, ἀλλὰ καὶ αὐτὴν τὴν ἀρετὴν τῶν ἀνδρῶν, ἵνα μάλιστα πρὸς αὐτῶν ἐζήτει. ὅπερ γὰρ εἶπεν, Εἴ τις θέλει ὀπίσω μου ἐλθεῖν, ἀρνήσατω τὸν σταυρὸν αὐτοῦ, καὶ ἀκολουθείτω μοι, οὗτος μυριάκις ἀποθανόντας ὑπὲρ τῶν τοῦ Θεοῦ δογμάτων καὶ δόγμα τοῦ πιστευθέντος αὐτοῖς, τούτους εἰς μέσον ἄγει. καὶ γὰρ τούτων ἕκαστος τὴν ψυχὴν ἀπολέσας, εὗρεν αὐτήν. καὶ γὰρ καὶ τοὺς τυράννους ἕκαστος ἐπρήσιάσατο· ὁ μὲν τὸν Αἰγύπτιον, ὁ δὲ τὸν Αχαάβ, καὶ ὑπὲρ ἀγνωμόνων δυθεφπων καὶ ἀπειθῶν· καὶ ὑπὲρ αὐτῶν τὰ πρὸς αὐτῶν σωζομένων εἰς τὸν τῶν ἑκάτων ἠξίωσαν κίνδυνον

καὶ

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

27 Ἵνα δὲ μὴ σκανδαλίσωμεν αὐτούς, πορευθεὶς βάλε ἄγκιστρον εἰς τὴν θάλασσαν, καὶ τὸν ἀναβάντα πρῶτον ἰχθὺν ἆρον· καὶ εὑρήσεις ἐν αὐτῷ στατῆρα· ἐκεῖνον λαβὼν δὸς αὐτοῖς ἀντὶ ἐμοῦ καὶ σοῦ. Ὁρᾷς πῶς οὐτε παραιτεῖται τὴν φόρου, ὅτε ἁπλῶς κελεύει δοῦναι, ἀλλὰ πρότερον δείξας οὐκ ὄντα ὑπεύθυνον, τότε δίδωσι· δι' ἄλλο, ἵνα μὴ σκάνδαλον γένηται· δι' ἕτερον ἵνα μὴ ἄτοπον. οὐδὲ γὰρ ὡς ὀφείλων δίδωσιν, ἀλλ' ὡς τῶν ἐκείνων ἀθενείαν διορθούμενος. ἀλλαχοῦ μέντοι καταφρονῆσαι τοῦ σκανδάλου, ὅτε πρὸς βραχὺ διελέγετο, διδάσκων ἡμᾶς εὐδένειαν κτήσεσθαι, καθ' ὃν σημαίνει μὴ καταφρονεῖν τῶν σκανδαλιζομένων, καὶ καθ' ὃν σημαίνει καταφρονεῖν· καὶ αὐτὸς ὁ τῆς δόσεως ἕνεκεν δείκνυσιν ἑαυτὸν πάλιν. Τίνος γὰρ ἕνεκεν ὠκ ἐξ ἀποκεκρυμμένου κελεύει δοῦναι; ἵνα, ὅπερ ἔφην, καὶ ἐν τούτῳ δείξῃ Θεὸν ἑαυτὸν ὄντα τῶν ὅλων. καὶ ὅλα καὶ τῆς θαλάσσης κρατεῖ, ἐδείξε μοι γὰρ καὶ ἤδη διὰ πολλῶν, καὶ τὸν Πέτρον τοῦτον κελεύσας ἀποβαλεῖν τὸν κάμμαρον· δείκνυσι δὲ καὶ νῦν διὰ τούτου, ἑτέρῳ μὲν ἔργῳ, πολλοῦ δὲ καὶ ἐν τούτῳ προέχων τὴν ἔκπληξιν. οὐδὲ γὰρ μικρὸν ἦν ἀπὸ τῶν βυθῶν ἐκείνων προσελθεῖν, ὅπου καὶ προῆτος ἐμπεσεῖται ὁ τὸν φόρον ἐκεῖνον τελῶν ἰχθύς, καὶ ὥσπερ ἀμφίβληστρον εἰς τὸ ἄβυσσον ἐκείνῳ ἀφέντα αὐτὸν τὸ προσταγμα ἀγαγεῖν· καὶ γὰρ καμίζοντα τὸν στατῆρα· ἀλλὰ θείας δυνάμεως καὶ ἀπορρήτου τὸ καὶ τὴν θάλατταν οὕτω ποιῆσαι δουλεύειν, καὶ πάντοθεν τὴν ὑποταγὴν αὐτῆς ἐπιδείκνυσθαι, καὶ ἰώνα μεγαλυνθῆναι ἐποίησε, καὶ ὅτε τὸν σύνδουλον ἐδέχετο ἀγκαλιζομένην, καὶ νῦν πάλιν ὅτε προὴς τοῦ ἀπαιτοῦντος ὑπὲρ αὐτοῦ δραλύεται. καὶ δὸς αὐτοῖς, φησιν, ἀντὶ ἐμοῦ καὶ σοῦ. εἶδες τὸ ὑπερβάλλον τῆς ψυχῆς; ἴδε καὶ τὸ φιλόσοφον τῆς τοῦ Πέτρου γνώμης. τοῦτο γὰρ ὁ φαίνεται Ματθαῖος ὁ τοῦτο φοιτητὴς γεγραφηκὼς τὸ κεφάλαιον, ὅπου πολλὰ ἐδείκνυ τὴν εἰς αὐτὸν τιμήν. ἀλλὰ τὴν μὲν ἀρίστην καὶ οὕτως ἐγραψε, τὰ δὲ ποιοῦντα αὐτὸν λαμπρὸν ἀπεσίγησεν, ἴσως τοῦ διδασκάλου παραιτουμένου τὸ μεγάλα περὶ αὐτοῦ λέγειν. ἀντὶ ἐμοῦ δὲ καὶ σοῦ εἶπεν, ὅπου καὶ αὐτὸς προστάτου ἦν. ὥσπερ δὲ ἐξεπλάγης τοῦ Χριστοῦ τὴν δύναμιν, οὕτω θαύμασον καὶ τοῦ μαθητοῦ τὴν πίστιν, ὅτι προστάγματι ἐπόρῳ ὅτως ὑπήκουσε. καὶ γὰρ σφόδρα ἀπορον ἦν τῇ φύσει. διὰ δὲ τῆς πίστεως αὐτὸν ἀμειβόμενος, ζωὴν ἑαυτῷ καὶ τὴν τοῦ φόρου δόσιν.

1 Ἐν ἐκείνῃ τῇ ὥρᾳ προσῆλθον τῷ Ἰησοῦ οἱ μαθηταὶ λέγοντες, Τίς ἄρα μείζων ἐστὶν ἐν κεζ ιη.
τῇ βασιλείᾳ τῶν οὐρανῶν; Εὐαφόν τι καὶ ἀνθρώπινον οἱ μαθηταί. διὰ τοῦτο ὁ εὐαγγελιστὴς ἐπισημαίνεται τοῦτο λέγων, ἐν ἐκείνῃ τῇ ὥρᾳ, δηλονότι ὅτε πάντων αὐτὸν προετίμησε, καὶ Ἰακώβου καὶ Ἰωάννου, ὧν μητρὸς προήτου ἦν, καὶ οὐδὲν τοιοῦτον ἐπαθον ἐφ' οἷς ἐποίησεν. εἶτα ἀγνωμόνησε τὸ πάθος ὁμολογήσαι, ὅπερ ἔπαθον, φιλονεικοῦσι μὲν ὁ λόγοις, τίνος ἕνεκεν τὸν Πέτρον τῶν μετεμίσησε; καὶ, εἰ μείζων ἡμῶν οὗτός ἐστιν; (ἠγνόουν γὰρ) ἀβλαβείστως ἂν ἐρωτῶσι, τίς ἄρα μείζων ἐστίν; ὅτε μὲν γὰρ οὐ τοῦτο ἔδον προτιμωμένους, οὐδὲν τοιοῦτον ἔπαθον· ὅτε δὲ εἰς ἕνα προήκη τὸ τῆς τιμῆς, τότε ἠλγησαν· οὐ τοῦτο δὲ μόνον, ἀλλὰ καὶ ἕτερα πολλὰ συναγανακτοῦντες τοῦ πάθους ἀνῆψαν. καὶ γὰρ εἶπεν αὐτοῖς, Οὐ δώσω τὰς κλῆς, καὶ, μακάριος εἶ Σίμων Βαριωνᾶ, καὶ ἐν τούτοις, δὸς αὐτοῖς ἀντὶ ἐμοῦ καὶ σοῦ, καὶ τὰ ἄλλα ἃ πρὸς τὴν Μαρ. θ. λδ.
40 σίαν αὐτοῦ τὰ πολλὰ ὁρῶντες προσεκνίζοντο. εἰ δὲ ὁ Μάρκος φησιν, Ὅτι οὐκ ἠρώτησαν, ἀλλ' ἐν ἑαυτοῖς διελογίζοντο, οὐδὲν τοῦτο ἐναντίον ἐστὶν ἐκείνῳ. εἰκὸς γὰρ αὐτοὺς καὶ τοῦτο ποιῆσαι, καὶ πρότερον μὲν ἐν ἑτέρῳ καιρῷ τοῦτο παθεῖν καὶ ἅπαξ καὶ δεύτερον, τότε δὲ καὶ ἐξελθεῖν καὶ ἐν ἑαυτοῖς διαλογίσασθαι. σὺ δέ μοι μὴ τὸ ἔγκλημα μόνον ἴδοις, ἀλλὰ καὶ τὸν λογισμὸν σκόπει· πρῶτον μὲν ὅτι οὐδὲν τῶν ἐνταῦθα ζητοῦσιν, ἔπειτα ὅτι καὶ τοῦτο ὕστερον τὸ πάθος ἀπέθεντο,

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

θεντο, καὶ τῶν προφητείων ἀλλήλοις παραχωροῦσιν. ἡμᾶς δὲ οὐδ' εἰς τὰ ἐλαττώματα αὐτῶν φθάσαι δυνάμεθα, σοὶ δὲ ζητοῦμεν τίς μείζων ἐν τῇ βασιλείᾳ τῶν οὐρανῶν, ἀλλὰ τίς μείζων ἐν τῇ βασιλείᾳ τῆς γῆς, τίς ὑπορρώτερος, τίς δυνατώτερος. τί οὖν ὁ Χριστὸς; ἀνακαλύπτει αὐτῶν τὸ ζωηδὸς, καὶ προῆς τὸ πάθος ἀποκρίνεται, οὐχ ἁπλῶς προῆς τὰ ῥήματα.

2 Προσκαλεσάμενος γὰρ παιδίον, φησὶν,

3 Εἶπεν· ἐὰν μὴ στραφῆτε, καὶ γένησθε ὡς τὸ παιδίον τοῦτο, οὐ μὴ εἰσέλθητε εἰς τὴν βασιλείαν τῶν οὐρανῶν. Ὑμεῖς μὲν γὰρ, φησὶν, ἐξετάζετε τίς μείζων, καὶ ποῖ προφητείων φιλονεικῆτε· ἐγὼ δὲ τὸ μὴ πάντων ταπεινότερον νομίζω οὐδὲ τὸ εἰσελθεῖν ἐκεῖ ἄξιον εἶναί φημι. καὶ καλῶς τὸ ὑπόδειγμα προσῆγε, καὶ οὐ προσῆγε μόνον, ἀλλὰ καὶ τὸ παιδίον εἰς μέσον ἵστησι, καὶ ἀπὸ τῆς ὄψεως αὐτοὺς ἐπιστρέπων καὶ πείθων εἰς ταπεινοὺς οὕτω καὶ ἁπλάστους. καὶ γὰρ φθόνου καθαρὸν τὸ παιδίον, καὶ κενοδοξίας, καὶ τὸ τῶν προφητείων ἐρᾶν, καὶ τιμῆς ἥκιστα κέκτηται ἀρετὴν, τὴν ἀφέλειαν καὶ τὸ ἁπλοῦν καὶ ταπεινόν. οὐκ ἄρα ἀνδρείας δεῖ μόνον, οὐδὲ φρονήσεως, ἀλλὰ καὶ ταύτης τῆς ἀρετῆς, τῆς ταπεινοφροσύνης λέγω καὶ τῆς ἀφελείας. καὶ γὰρ καὶ ἐν τοῖς μείζοσι χωλύει ταύτης ἡμᾶς, τούτων ἡμῖν ὄντων. τὸ παιδίον, κἂν ὑβρίζηται, κἂν τύπτηται, κἂν λιμᾶται, κἂν δουλάζηται, ὅτε σκῆψιν δι' ἣν ἀμύνεται καὶ βασκαίνει, ὅτε σύνεσθεν ἐπαίρεται. εἶδες πῶς πάλιν ἡμᾶς πρὸς τὰ φυσικὰ κατορθώματα σκηκάλφησι, δείκνυσι ὅτι οὐκ προαιρέσεως ταῦτα κατορθοῦν δυνατόν, καὶ τὴν πονηρὰν Μανιχαίων ἐπισομίζων λύπαν; εἰ γὰρ πονηρὰ ἡ φύσις, μάτην ἕνεκεν σκῆψιν τῆς φιλοσοφίας τὰ παραδείγματα ἔλκει; παιδίον δέ μοι δείκνυ, σφόδρα παιδίον ὄν, ἐν ᾧ μέσῳ ἵστησι τῶν παθῶν ἁπάντων τούτων ἀπηλλαγμένον. τὸ γὰρ τοιοῦτον παιδίον καὶ ἀπονοίας καὶ δυσμενείας καὶ βασκανίας καὶ φιλονεικίας καὶ πάντων τῶν τοιούτων ἀπήλλακται παθῶν, καὶ πολλὰς ἔχον τὰς ἀρετὰς, ἀφέλειαν, ταπεινοφροσύνην, ἀπραγμοσύνην, ἐν οὐδενὶ τούτων ἐπαίρεται, ὅπερ διπλῆς ἐστι φιλοσοφίας, καὶ τὸ κεκτῆσθαι ταῦτα, καὶ μὴ φυσᾶσθαι ἐπ' αὐτοῖς. διὸ καὶ προσήγαγε καὶ ἔστησεν ἐν μέσῳ. ἐπὶ δὲ μέρει τοῦτο μόνον τὸν λόγον κατέκλεισεν, ἀλλὰ καὶ περαιτέρω πρὸς τὰ παίδια τοῦτο, λέγων·

5 Καὶ ὃς ἐὰν δέξηται παιδίον τοιοῦτον ἐν τῷ ὀνόματί μου, ἐμὲ δέχεται. Οὐ γὰρ δὴ μόνον φησὶν, ἐὰν αὐτοὶ τοιοῦτοι γένησθε, μαθηταὶ λήψεσθε μέγαν, ἀλλὰ κἂν ἑτέρους τοιούτους τιμήσητε δι' ἐμὲ, καὶ τῆς εἰς ἐκείνους τιμῆς βασιλείαν ὑμῖν ὀφείλω τὸν ἀμοιβαῖον· μᾶλλον δὲ τὸ πολλῷ μεῖζον ἔφησεν, ἐμὲ δέχεται, λέγων. ὥστε μοι σφόδρα πολλοῦ, τὸ ταπεινὸν καὶ ἄπλαστον. παιδίον γὰρ ἐνταῦθα, τοῦτ' αὐθεφότους τοῦτ' ὄντως ἀφελεῖς φησι καὶ ταπεινούς, καὶ ἀπερριμμένους παρὰ τοῖς πολλοῖς καὶ βιωταφρονήτους. εἶτα δεύτερον δείκνυσι μειζόνως πιαίνων τὸν λόγον, οὐκ ἀπὸ τῆς ὑμῆς μόνον, ἀλλὰ καὶ ἀπὸ τῆς κολάσεως αὐτὸν σωίζησιν, ἐπάγων καὶ λέγων· 6 Καὶ ὃς ἐὰν σκανδαλίσῃ ἕνα τῶν μικρῶν τούτων, συμφέρει αὐτῷ, ἵνα κρεμασθῇ μύλος ὀνικὸς εἰς τὸν τράχηλον αὐτοῦ, καὶ καταποντισθῇ ἐν τῷ πελάγει τοῦ θαλάσσης. Ὥσπερ γὰρ οἱ τούτους τιμῶντες, φησὶ, δι' ἐμὲ τὸν ἔρανον ἔχουσι, μᾶλλον δὲ τῆς βασιλείας αὐτῆς μείζω τιμὴν, ὅτῳ δὴ καὶ οἱ ἀτιμάζοντες (τοῦτο γὰρ ἐστὶ τὸ σκανδαλίσαι) τὴν ἐκ τῶν ἐναντίων δώσουσι δίκην. εἰ δὲ σκανδάλου τοῦ ὕβρεως καλεῖ, μὴ θαυμάσῃς. πολλοὶ γὰρ τῶν μικροψύχων, οὐκ ὡς ἔτυχεν, ἐκ τοῦ προφθῆναι καὶ καθυβρισθῆναι ἐσκανδαλίσθησαν. ἐναίρων τοίνυν καὶ αὖξων τὸ ἔγκλημα, τοῦ δὲ αὐτοῦ ἅπτεται βλάβους. καὶ οὐκ ἐπὶ ἀπὸ τῶν αὐτῶν τοῦ ὑμωείου ἐμφαίνει, ἀλλ' ἀπὸ τῶν πρὸς ἡμῶν γνωρίμων τὸ ἀφόρητον αὐτῆς ἐνδείκνυται. ὅταν γὰρ μάλιστα καθάπτεσθαι βούληται τῶν παχυτέρων, αἰσθητὰ λαμβάνει παραδείγματα. διὸ καὶ ἐνταῦθα βουλόμενος δεῖξαι, ὅτι πολλοῦ ὑποκείσονται τοῦ ὑμωείου, καὶ καθικέσθαι τῆς τῶν σκανδαλιζόντων αὐτοὺς ἀπονοίας, αἰσθητοῦ ἵνα κόλασιν εἰς μέσον ἤγαγε τοῦ

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

τὴν τῶν μύλων καταπονισμόν. καίτοιγε ἀκόλουθον τῷ τοιούτῳ ἦν εἰπεῖν· ὁ μὴ δεχόμενος ἕνα τῶν μικρῶν τούτων, ἐμὲ δὲ δέχεται, ὁ πάσης καλάσεως πικρότερον ἦν· ἀλλ' ὅπερ τῶν σφόδρα δυναμένων καὶ παχυτάτων καὶ ὃ φοβερὸν τοῦτο οὐχ οὕτω καθικνεῖτο, λέγησι μύλων καταπονισμόν. καὶ τοῦτο εἶπεν, ὅτι μύλος χρεμασθήσεται εἰς Ⓐ τραχηλον αὐτοῦ, ἀλλὰ συμφέρει αὐτῷ τοῦτο ὑποστῆναι, δεικνὺς ὅτι ἕτερον τοῦτο χαλεπώτερον αὐτὸν δυναμένης κακοῦ· εἰ γὰρ τοῦτο ἀφόρητον, πολλῷ μᾶλλον ἐκεῖνο. εἶδες πῶς ἑκατέρωθεν φοβερὸν ἐποίησε τὸ ἀπειλεῖν, τῇ μὲν τοῦ γνωρίσματος παραδείγματος συγκείσει σαφεστέραν αὐτὴν ποιῶν, τῇ δὲ ἐντεῦθεν ὑπερβολῇ πολλῷ μείζονα τῆς ὀργωμένης φαντάζεσθαι παρασκευάσας; εἶδες πῶς παρέρριζον ἀνέστασε τῆς ἀπονοίας τὸ φρόνημα; πῶς ἰάσατο τῆς κενοδοξίας τὸ ἕλκος; πῶς ἐναγάδυσε μηδαμοῦ τῶν παρόντων ἐρᾶν; πῶς ἔπεισε τοὺς ἀνθρώπους τῶν παρόντων τὰ ἑκάστου πάντα χορὸν διώκειν ταχύν;

Οὐδὲν γὰρ ἀπονοίας χεῖρον. αὕτη καὶ τὴν ψυχὴν ἐξίστησι φρενῶν, καὶ μωρὸν ἀπεργάζεται ΗΘΙΚΟΝ
δόξαν· μᾶλλον δὲ καὶ σφόδρα ἀνοήτους εἰ ποιεῖ. ὥσπερ γὰρ εἰ λύκος τις ἵππων ὢν βιάζοιτο εἶναι τῶν ὀρνίθων ὑψηλότερος, ἢ καὶ νομίζοι τοῦτο, καὶ ἀνατείνοι ἑαυτὸν ὡς ὑπερβαλόμενος αὐτῶν τὰς κέρκους, οὐδὲν ἕτερον ζητήσομεν δεῖγμα ἀνοίας· οὕτω καὶ ὅταν μὴ θεμιτὸν ἀπονενοημένον ἴδοις καὶ ἀπόντων βλέπουσα ἑαυτὸν ἡγούμενον εἶναι, καὶ ὕβριν νομίζοντα τὸ μὴ τῶν πολλῶν ζῆν, μὴ ζήτει λοιπὸν ἕτερον ἔλεγχον ἰδεῖν τῆς ἐκείνης παραφροσύνης. τῶν γὰρ φύσει μωρῶν πολὺ καταγελαστότερος οὗτος, ὅσον καὶ ἐκὼν ἑαυτῷ δημιουργεῖ τὸν νόσον. καὶ ἑαυτὴ δὲ μόνον ἄθλιος, ἀλλ' ὅλη καὶ ἀδηγήτως εἰς ἄδου τῆς καρδίας ἐμπίπλει τὸ βάραθρον. πότε γὰρ ὁ τοιοῦτος ὑπογνώσεται ἁμαρτάνων ὡς χρή; πότε αἰσθήσεται πλημμελῶν; καὶ γὰρ ὡς ἀνδράποδον κακὸν καὶ αἰχμάλωτον λαβὼν αὐτὸν ὁ δεσπότης ἄπεισι, καὶ ἄγει καὶ φέρει ῥαπίζων πανταχόθεν καὶ μυρίας παρεκβάλλων ὕβρεις. εἰς τοσαύτην γὰρ αὐτὸν ἄγει μωρίαν λοιπόν, ὡς πείθειν καὶ τὴν παῖδα καὶ γυναῖκα μεταφρονεῖν, καὶ τῶν γονέων τῶν οἰκείων· ἕτερος δὲ τἀναντίον ἀπὸ τῆς τῶν γονέων περιφανείας φυσᾶσθαι παραπαίζει, ὅτι μοι δοκεῖ δὴ ἀνοητότερον, ὅταν ἀπὸ τῶν ἐναντίων ὁμοίως φλεγμαίνωσιν, Ⓐ μὲν ὅπερ εὐλελεῖς ἔχον πατέρας καὶ πάππους καὶ ὅπερ πάππους, Ⓐ δὲ ὅπερ λαμπρούς τε καὶ περιφανεῖς; πῶς οὖν δεῖ τις ἑκατέρων ταπεινώσειε τὸν φλεγμονήν; τοὺς μὲν ἐκείνους λέγων, ἀνάδηθι περαιτέρω τῶν πάππων καὶ τῶν προπάππων, καὶ πολλοὺς ἴσως εὑρήσεις μαστίρας καὶ ὀνηλάτας καὶ καπήλους· τοὺς δὲ τούτους σου ἀπὸ τῆς εὐτελείας τῶν προγόνων φυσωμένους δεῖ ἐναντίον πάλιν, ὅτι καὶ σὺ πάλιν αὖ ὑπὲρ τοὺς προγόνους, ὅσῳ πολλῷ σε λαμπροτέρους πολλούς. ὅτι γὰρ τοῦτον ἔχει Ⓐ δρόμον ἡ φύσις, φέρε καὶ ἀπὸ τῶν γραφῶν ὑμῖν ἀποδείξω. ὁ Σολομῶν υἱὸς βασιλέως ἦν, καὶ βασιλέως λαμπροῦ· ἀλλ' ὁ τούτου πατὴρ τῶν εὐτελῶν καὶ ἀσήμων, καὶ ὁ τοὺς μηδὲ πάππους ὁμοίως. οὐδὲ γὰρ δὴ φιλῶ γραπτὸν τὸν γυναῖκα ἐξέδωκεν. εἰ δὲ ἀναβαίνεις ἀνωτέρω πάλιν ἀπὸ τῶν εὐτελῶν τούτων, λαμπροτέρους ὄψῃ τὸ γένος καὶ βασιλικώτερον. οὕτω δὲ ἐπὶ τοῦ Σαοὺλ, οὕτω καὶ ἐπὶ πολλῶν ἑτέρων εὕροις ἂν τοῦτο συμβαῖνον. μὴ δὴ μέγα φρονῶμεν ἐντεῦθεν. οἶδα γὰρ ὅτι ὁ γέλως, εἴπέ μοι, οὐδὲν ἀλλ' ἢ ὄνομα μόνον πρᾶγματος ἔρημον· καὶ τοῦτο εἴσεσθε καὶ τὴν ἡμέραν ἐκείνην. ἐπεὶ δὲ ὅπου πάρεστιν ἐκείνη, φέρε καὶ ἀπὸ τῶν πρόσθεν ὑμᾶς πείσωμεν, ὅτι οὐδὲ μία ἐντεῦθεν ὠφέλεια. εἰ γὰρ καὶ πόλεμος κατὰ λαβῇ, καὶ λιμὸς, καὶ ἕτερα ὁποῖα, πάντα ἐλέγχεται ταῦτα τὰ τῆς εὐγλωττίας φυσήματα. καὶ νόσος ἐπέλθοι, καὶ λοιμὸς, οὐκ οἶδε διαγινώσκειν Ⓐ πλούσιον εἰ Ⓐ πένητα, Ⓐ ἔνδοξον καὶ τὸν ἄδοξον, τὸν εὐγλωττον εἰ τὸν ἰδιώτην. ὅτε ὁ θάνατος, ὅτε αἱ λοιπαὶ τῶν συμφορῶν μεταβολαὶ, ἀλλ' ὁμοίως πᾶσι πάντα ἐπαφίσανται, καὶ εἰ δεῖ τι καὶ θαυμαστὸν εἰπεῖν, τοῖς πλουτοῦσι μᾶλλον. ὅσῳ γὰρ ἀμελέστεροι τούτων εἰσὶ, τοσούτῳ μᾶλλον ἀλόντες ἀπόλλυσι). καὶ ὁ φόβος δὲ παρὰ τοῖς πλουτοῦσι μείζων. καὶ γὰρ ἀρπαγὰς ὅτοι μάλιστα τρέμουσι,

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ἢ τῶν δήμων τῶν ἀρχόντων οὐκ ἔλαττον, ἀλλὰ καὶ πολλῷ πλέον. πολλὰς γοῦν οἰκίας διαῤῥήξας ὁμοίως καὶ δήμων θυμὸς τῶν ἀρχόντων ἀνέτρεψεν ἀπειλή· ὁ δὲ πένης ἑκατέρων τούτων τῶν κυμάτων ἀπήλλακται. ὥστε ταύτην ἀφεὶς τὴν εὐχέρειαν, εἰ βούλει μοι δεῖξαι ὅτι εὐχερής εἶ, δεῖξον τῆς ψυχῆς τὴν ἐλευθερίαν, οἵαν εἶχεν ὁ μακάριος ἐκεῖνος, καὶ ταῦτα πένης ὤν, ὁ λέγων τῷ Ἡρῴδῃ, Οὐκ ἔξεστί σοι ἔχειν τὴν γυναῖκα Φιλίππου τοῦ ἀδελφοῦ σου· οἵαν ἐκέκτητο ὁ περὶ ἐκείνου τοιοῦτος, ἢ μετ' ἐκεῖνον τοιοῦτος, ὁ λέγων τῷ Ἀχαάβ, Οὐ διαφέρω ἐγὼ τῷ Ἰσραὴλ, ἀλλ' ἢ σὺ καὶ ὁ οἶκος τοῦ πατρός σου· οἵαν εἶχον οἱ προφῆται· οἵαν οἱ ἀπόστολοι πάντες. ἀλλ' οὐχ αἱ τῶν πλουτούντων ψυχαὶ τοιαῦται, ἀλλ' ὥσπερ οἱ ἐσταυμειωμένοι ὄντες παιδαγωγοὶ καὶ δημόται, ὅταν ὁρῶσι τὸν ὄμμα τολμῶσι καὶ ἐπὶ ἀρετῆς παῤῥησιάσασθαι. ὁ γὰρ τῶν χρημάτων ἔρως καὶ ὁ τῆς δόξης καὶ ὁ τῶν ἄλλων πραγμάτων, φοβεροὺς εἰς αὐτὸν βλέποντες, δουλοπρεπῆ ποιοῦσι καὶ κόλακας. οὐδὲν γὰρ ὕπως ἐλευθερίαν ἀναιρῇ, ὡς ὁ βιωτικοῖς ἐμπεπλέχθαι πράγμασι, καὶ τὰ δοκοῦντα εἶναι λαμπρὰ παρεμβεβλῆσθαι. οὐδὲ γὰρ ἕνα δεσπότην καὶ δύο ἢ τρεῖς, ἀλλὰ μυρίους ὁ τοιοῦτος ἔχει. καὶ εἰ βούλεσθε ἀριθμῆσαι τούτους, διαλάμψω ὑμῖν ἕνα καὶ τῶν εὐδοκιμούντων ἐν βασιλείοις, καὶ ἔστω αὐτῷ καὶ χρήματα πάμπολλα, καὶ δυναστεία μεγάλη, καὶ πατρὶς ὑπάρχουσα, καὶ πραγμάτων περιφάνεια, ἃ ἀποβλέπετε πάντων. ἰδωμεν τοίνυν, εἰ μὴ οὗτός ἐστιν ὁ πάντων δουλικώτερος· καὶ ἀντιστήσωμεν αὐτῷ μὴ δοῦλον ἁπλῶς, ἀλλὰ δοῦλον δούλων πολλοὶ γὰρ καὶ οἰκέται δούλους ἔχουσιν. οὗτος μὲν οὖν ὁ δοῦλος τοῦ δούλου ἕνα ἔχει δεσπότην· τί γάρ, εἰ καὶ μὴ ἐλεύθερον; ἀλλ' ἕνα, καὶ πρὸς ὃν ἐκεῖνος δοκοῦν ὁρᾷ μόνον. κἂν γὰρ ὁ τούτου δεσπότης αὐτοῦ δοκῇ κρατεῖν, ἀλλὰ πέπαυται· κἂν τὰ πρὸς ἐκεῖνον αὐτῷ καλῶς ἔχῃ, ἐν ἀδείᾳ πάντα καθεδεῖται βίον. οὗτος δὲ οὐχ ἕνα καὶ δύο μόνον, ἀλλὰ πολλοὺς καὶ χαλεπωτέρους ἔχει δεσπότας. καὶ πρῶτον αὐτὸν βασιλεύοντα μεμίμνῃ. οὐκ ἔστι δὲ ἴσον εὐτελῆ δεσπότην ἔχειν, καὶ βασιλέα ὑπὸ πολλῶν καὶ ὦπα θαυθρυλλούμενον, καὶ νεῶ μὲν τούτων, νεῶ δὲ ἐκείνων γινόμενον. οὗτος κἂν μηδὲν ἑαυτῷ συνειδὼς ᾖ, πάντας ὑπόπτευει, καὶ τοὺς μετ' αὐτοῦ στρατευομένους, καὶ τοὺς ὑπ' αὐτῷ τεταγμένους, καὶ τοὺς φίλους καὶ τοὺς ἐχθρούς. ἀλλὰ καὶ οὗτος, φησί, δεσπότην. καὶ πῦ ἴσον ἕνα καὶ πολλοὺς ἔχειν τοὺς διεβεβλημένους αὐτόν; μᾶλλον δὲ εἰ ἅπας ἀκριβῶς ἐξετάσειεν, οὐδὲ ἕνα εὑρήσει. πῶς, καὶ τίνι τρόπῳ; ἐκεῖνος μὲν οὐδένα ἔχει ὑπὲρ θυμοῦται αὐτὸν ἐκβαλεῖν τῆς δουλείας ταύτης, καὶ εἰσαγαγεῖν ἑαυτόν· ὅθεν οὐδὲ ὑπὲρ βουλεύονται ἐν τούτοις ἔχει. ὅτοι δὲ οὐδὲ ἑτέραν ἀπουδιοῦν ἔχουσιν, ἀλλ' ἢ τὸ δέσποτα εὐδοκιμώτερον καὶ μᾶλλον ἀγαπώμενον παρὰ τοῦ χρηματοῦντος. διὸ καὶ πάντας ἀνάγκη κολακεύειν, τοὺς μείζους, τοὺς ὁμοτίμους, τοὺς φίλους. ἔνθα γὰρ βασιλεία καὶ δόξης ἔρως, οὐδὲ φιλίας εἰλικρινοῦς ἔστιν ἰχνος. ὥσπερ γὰρ οἱ ὁμότεχνοι φιλεῖν ἀλλήλους οὐκ ἂν δύναιντο ἀκριβῶς καὶ γνησίως, οὕτω καὶ οἱ ὁμότιμοι καὶ τῶν αὐτῶν ἐραστὰι ὄντες ἐν τοῖς βιωτικοῖς· ὅθεν καὶ ὁ πόλεμος ἔνδον πολύς. εἶδες δεσποτῶν ἐσμόν, καὶ δεσποτῶν χαλεπῶν; βούλει καὶ ἕτερον ὑπόδειξω τούτου χαλεπώτερον; οἱ μετ' αὐτὸν ἅπαντες περὶ αὐλοῦ ἠμέσθαι αὐτοῦ δοκοῦσιν, οἱ περὶ αὐτοῦ κωλῦσαι γενέσθαι πλησίον ἢ προσδραμεῖν. ἀλλ' ὦ τοῦ θαύματος. ἐγὼ μὲν ὑπερβάλλω δεσπότας δεῖξαι, ὁ δὲ λόγος περαίνων καὶ ἀγωνιζόμενος, πλέον τῆς ὑπερβάσεως ἐποίησε, πολεμίους ἀντὶ δεσποτῶν δείξας, μᾶλλον δὲ καὶ πολεμίους καὶ δεσπότας τοῦ αὐτούς. θεραπεύονται μὲν γὰρ ὡς δεσπότας, φοβεροὶ δέ εἰσιν ὡς πολέμιοι, καὶ ὑπερβουλεύουσιν ὡς ἐχθροί. ὅταν οὖν τις τοῦ αὐτοῦ καὶ κοινοὺς ἔχῃ καὶ ἐχθρούς, τί ταύτης τῆς συμφορᾶς χεῖρον γένοιτ' ἄν; ὁ μὲν δοῦλος, κἂν ὑπερπατῆται, ἀλλ' ὅμως ὑπὲρ μισθοῦ ἀπολαύει παρὰ τῶν κεκτημένων καὶ θύραις· ὅτοι δὲ καὶ ὑπερπατοῦσι, καὶ πολεμοῦνται, καὶ κατ' ἀλλήλων ἐρήκασι, καὶ τοσούτῳ πλείονι ἐν παντὶ μάχης χαλεπώτερον, ὅσῳ καὶ λαθραιοτέροις, καὶ ἐν προσωπείῳ φίλων τὰ τῶν ἐχθρῶν διατιθέασι,

πήσαι, ἢ ὅτι τῆς ἑτέρων πολλάκις βιάζονται συμφορᾶς. ἀλλ' ὅταν ἡμέτερα βιάσηται, ἀλλὰ καὶν προσέξῃ κακῶς ἕτερος, πολλοὶ ⓐ συνοχλοῦντες· καὶν δόκιμος ᾖ, πολλοὶ ⓐ συνδόμενοι κτλ. ⓦ ἀπόσολον· Εἴτε γὰρ παρὰ ἓν μέλος, συμπάσχει πάντα τὰ μέλη· Εἴτε ἕν. Κορ. ιβ. κς. δοξάζεται ἓν μέλος, συγχαίρει πάντα τὰ μέλη, φησί. Ὃ καὶ ἐλεγεν ὁ ταῦτα προδιδάσκων, Τίς μοί ἐστιν ἐλπὶς, ἢ χαρά; ἢ οὐχὶ καὶ ὑμεῖς; καὶ γὰρ ὑμεῖς ἔσεσθε ἐν Κυρίῳ· καὶ γὰρ ὑμεῖς, Ἐκ πολλῆς θλίψεως καὶ συνοχῆς καρδίας ἔγραψα ὑμῖν· καὶ, Τίς ἀσθενεῖ, καὶ οὐκ ἀσθενῶ; Τίς σκανδαλίζεται, καὶ οὐκ ἐγὼ πυροῦμαι; Ἵνα τοῦτο ἕνεκεν ἔπαθε τῆς ζάλης ἀνεχόμεθα. καὶ τὴν κυμάτων τὴν ἔξωθεν, καὶ οὐ τρεχόμεθα· ὅτι ⓦ βύθιον λιμένα τοῦτον, καὶ τὰ ὀνόματα ἀφέντες τῶν ἀγαθῶν, ὅτι τὰ πράγματα βασίζομεν αὐτά; δόξα γὰρ καὶ δυναστεία καὶ πλοῦτος καὶ βδοκίμησις καὶ τὰ τοιαῦτα πάντα, ὀνόματα τῶν ἐκείνοις, πράγματα δὲ ἡμῖν πράγματα· ὥσπερ δὲ τὰ λυπηρὰ, θάνατος καὶ ἀτιμία καὶ πενία καὶ ὅσα τοιαῦτα, ὀνόματα μὲν τῶν ἡμῖν, πράγματα δὲ τῶν ἐκείνοις. καὶ, εἰ βούλει, τὴν δόξαν ταύτην εἰς μέσον ἀγάγωμεν τὴν τῶν ἐκείνοις πᾶσαν ἐπέρασεν καὶ πορφύραν. καὶ οὐ λέγω ὅτι ὀλιγοχρόνιος, ἀλλ' ὅτι ταχέως σβέννυται· ἀλλ' ὅταν δοκῇ, τότε μοι δεῖξον αὐτήν. μὴ παρέλης τῆς πόρνης τὰ ἐπιτηδεύματα καὶ τὰς ὑποζαφάς, ἀλλὰ κεκαλλωπισμένην εἰς μέσον ἄγε, καὶ ἐπίδειξον ἡμῖν, ἵνα ὅταν αὐτῆς ἐλέγξω τὸ δυσειδές. σκόπει τὸ ῥῆμα πάντως ἐρᾷς, καὶ τὸ πλῆθος τῶν ῥαδιούργων, καὶ τὸ κήρυκος τὴν φωνήν, καὶ τὰν δήμων τὴν ὑποκρίσεων, καὶ τὴν τῶν πολλῶν σιγήν, καὶ τὸ τύπτεσθαι οὐκ ἀποστολικὰς ἀπὸ τοῦ, καὶ τὸ ὑπὸ πάντων παρεβλέπεσθαι. ἆρά τοῦτά ἐστι τὰ λαμπρά; φέρε δῶ, ἐξετάσωμεν εἰ μὴ παρίπτασθαι ταῦτα, καὶ ὑπόληψις μόνον αἰσχύνης. τί γὰρ ἔσχατον ἀπὸ τούτων βελτίων ἔσται, ἢ τὸ σῶμα, ἢ τὴν ψυχήν; τοῦτο γὰρ δῶ ἔσεσθε. ἆρα ὑψηλότερος ἔσαι ἐντεῦθεν ἢ ἰσχυρότερος ἢ ὑγιεινότερος ἢ ἀκριβέστερος ἢ τὰς αἰσθήσεις ὀξυτέρας κτήσεται καὶ τρανοτέρας; ἀλλ' οὐδεὶς δῶ ἔχει τοῦτο εἰπεῖν. ἴσωμεν τοίνυν ὅτι τὴν ψυχήν. μή ποτε ἐκ τῆς κέρδος προσγινόμενον ἐντεῦθεν εὑρήσομεν; τί δῆτα; σωφρονέστερος, ἐπιεικέστερος, συνετώτερος ἀπὸ ταύτης ἔσαι τῆς θεραπείας ὁ βιούστος; οὐδαμῶς. ἀλλὰ καὶ τοὐναντίον ἄπεστι. οὐ γὰρ ὅπερ ἐπὶ τοῦ σώματος, τοῦτο καὶ ἐνταῦθα συμβαίνει. ἐκεῖ μὲν γὰρ οὐδὲν προσλαμβάνει τῇ φύσει οἰκεῖα προσλαμβάνοντα θρέπτικὰ τὸ σῶμα· ἐνταῦθα δὲ μόνον τοῦτο ἐστὶ τὸ δεινόν, ὅτι οὐδὲν καρποῦται χρηστὸν, ἀλλὰ ὅτι καὶ κακὰ δέχεται) πολλὰ ἐντεῦθεν ἡ ψυχή. καὶ γὰρ εἰς ἀπόνοιαν καὶ κενοδοξίαν καὶ φύσιν καὶ εἰς θυμοὺς καὶ εἰς μυρία ἐλαττώματα βιαστὰ ἐνθένδε φέρει). ἀλλὰ χαίρει, φησὶ, καὶ γάνυται τούτοις, καὶ φαιδρύνεται). ⓦ κολοφῶνά μοι τῶν κακῶν εἶπες, καὶ τὸ νοσήματος τὸ ἀνίατον. ὁ γὰρ χαίρων ὅτι τούτοις, οὐδὲ ἀπαλλαγῆναι ῥᾳδίως αὐτῶν ἐθελήσειε τῆς ἐπιθέσεως τῶν κακῶν, ἀλλ' ἀπετείχισεν ἑαυτῷ τῆς θεραπείας τὴν ὁδὸν διὰ τῆς ἡδονῆς. ὥστε τοῦτο μάλιστα ὅτι τὸ δεινόν, ὅτι οὐδὲ ἀλγεῖ, ἀλλὰ καὶ χαίρει τῶν νοσημάτων αὐξομένων αὐτῷ. οὐδὲ γὰρ πάντα χοῦ τὸ χαίρειν καλόν, ἐπεὶ καὶ κλέπται χαίρουσι κλέπτοντες, καὶ μοιχοὶ διαφθείρουσι τὸ πλησίον γάμον, καὶ ὁ πλεονέκτης ἁρπάζων, καὶ ὁ ἀνδροφόνος φονεύων. μὴ τοίνυν, εἰ χαίρει, ἴδωμεν, ἀλλ' εἰ ὅτι χρησίμῳ· καὶ διαφθείρωμεν μήποτε τοιαύτην εὑρήσομεν τὴν χαράν, οἵαν τὴν τοῦ μοιχοῦ καὶ τοῦ κλέπτου. τίνος γὰρ ἕνεκεν, εἰπέ μοι, χαίρει; διὰ τὴν παρὰ τῶν πολλῶν δόξαν, καὶ τὸ δυνάσθαι φυσᾶσθαι καὶ βλέπεσθαι; καὶ τί τῆς ἐπιθυμίας ταύτης πονηρότερον γένοιτ' ἄν, καὶ τοῦ ἀπὸ τούτου ἔρωτος; εἰ δὲ μὴ πονηρόν, παύσασθε δὴ κενοδόξοις σκώληξι καὶ μυρίοις πλυνοῦσι σκώμμασι· παύσασθε τοῖς ἀπονενοημένοις καὶ ἀπροσώποις ἐπιρρώμενοι. ἀλλ' οὐκ ἂν ἀνάσχοισθε· σκόπει μυρίας ἄξιοι καὶ αὐλοὶ κατηγορίας, καὶν μυρίοις ἔχωσι ῥαδιούργοις. καὶ ταῦτά μοι περὶ τῶν ἀνεκτοτέρων ἐρχόντων εἴρηται· ὡς τούς γε πλείονας καὶ λῃστῶν καὶ ἀνδροφόνων καὶ μοιχῶν καὶ τυμβωρύχων μείζονα ἀπορρῆξαι τὰς βύρσας δοκοῦμεν ἀπὸ τοῦ μὴ καλῶς κεχρῆσθαι τῇ ἀρχῇ. καὶ γὰρ καὶ κλέπτοντι

χλέπτοισιν ἐκείνων ἀνιαρώτερον, καὶ σφάττοισιν ἴσα μᾶλλον, καὶ ἀστεναγμοῖσι πολλῷ φιλανθρωπότερον, καὶ διορύττοισιν οὐ τοῖχον ἕνα, ἀλλὰ οἰκίας καὶ οἰκίας ἀπείρους, ἀπὸ τῆς ἐξουσίας πολλὴν τὴν θυμηδίαν ἔχοντες, καὶ δουλοῦσι δουλείαν χαλεπωτάτην, τοῖς πάθεσιν ὑποκύπτοντες ἀνάνδρως, [καὶ τοῦ Σωσιβίου τύπτουσιν ἀφειδῶς] καὶ τοῦ Σωσιβίου ἀμείβεται ἄπονα τέκοντες. μόνος γάρ ἐστιν ἐλεύθερος, καὶ μόνος ἄρχων, καὶ τῶν βασιλέων βασιλεύτερος, ὁ τῶν παθῶν ἀπηλλαγμένος. ταῦτ' οὖν εἰδότες, διώξωμεν τὴν ἀληθῆ ἐλευθερίαν, καὶ τῆς πονηρᾶς δουλείας ἀπαλλάξωμεν ἑαυτούς· καὶ μήτε ἀρχῆς ὄγκον, μήτε πλούτου τυραννίδα, μήτε ἄλλο τι τοιοῦτον μακαριστὸν νομίζωμεν, ἀλλ' ἀρετὴν μόνην. οὕτω γὰρ καὶ τῆς ἐνταῦθα ἀπολαυσόμεθα ἀδείας, καὶ τῶν μελλόντων ἐπιτυχόμεθα ἀγαθῶν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ᾧ ἡ δόξα καὶ τὸ κράτος εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Ομιλ. ιθ. 7 ΟΥΑΙ ΤΩ ΚΟΣΜΩ ΑΠΟ ΤΩΝ ΣΚΑΝΔΑΛΩΝ. ἀνάγκη γάρ ἐστιν ἐλθεῖν τὰ σκάνδαλα, πλὴν οὐαὶ τῷ ἀνθρώπῳ ἐκείνῳ, δι' οὗ τὸ σκάνδαλον ἔρχεται.

ΚΑΙ εἰ ἀνάγκη ἐστὶν ἐλθεῖν τὰ σκάνδαλα, εἶπόν τις ἂν ἴσως τῶν ἀνθρώπων, ἵνα παραμύθιον τὸν κόσμον, δέον ἀμῦναι καὶ χεῖρα ὀρέξαι; τοῦτο γὰρ ἰατροῦ καὶ θεραπεύοντος. τί οὖν ἀνθρωπε εἶπομεν ἂν τὴν οὕτως ἀνάλγητον γλῶτταν; καὶ τί τῆς θεραπείας ταύτης ἴσον ἐπιζητεῖς; καὶ γὰρ Θεὸς ὢν ἀνθρωπος ἐγένετο δι' σέ, καὶ δούλου μορφὴν ἔλαβε, καὶ τὰ αἰσχρὰ πάθη ὑπέστη, καὶ οὐδὲν ἀπέλιπε τῶν εἰς αὐτὴν ἡκόντων. ἀλλ' ὅμως πλέον οὐδὲν γέγονε τοῖς ἀγνώμοσι, διὰ τοῦτο αὐτοὺς παραμύθιον, ὅτι μὴ τὴν τοσαύτην θεραπείαν ἔμειναν ὅτι τῆς ἀῤῥωστίας. ὥσπερ ἂν εἴ τις καὶ κάμνοντα πολλῆς ἀπολαύσαντα ἐπιμελείας, καὶ οὐκ ἐθελήσαντα νόμοις πειθῶναι ἰατρικοῖς θρίξων λέγοι, οὐαὶ τῷ δεινῷ ἀνθρώπῳ ἀπὸ τῆς ἀῤῥωστίας, ἐὰν διὰ τῆς οἰκείας ἠμελήσῃ ῥᾳθυμίας. ἀλλ' ἐκεῖ μὲν οὐδὲν ὄφελος ἀπὸ τοῦ θρήνου, ἐνταῦθα δὲ τοῦτο εἶδος θεραπείας ἐστί, τὸ παρειπεῖν τὸ ἐσόμενον καὶ παραμύσασθαι. πολλοὶ γὰρ πολλάκις συμβαλόντες μὲν οὐδὲν ὠφελήθησαν, θρηνήσαντες δὲ ἀνέκαυσαν. διὰ καὶ μάλιστα τοῦτο οὐαὶ πέφυκε, διεγείρων αὐτοὺς καὶ ἐναγωνίους ποιῶν καὶ ἐγρηγορέναι παρασκευάζων. μὴ δὴ τούτων καὶ τὴν εὔνοιαν ἐπιδείκνυται τὴν περὶ αὐτοὺς ἐκείνους, καὶ τὴν ἡμερότητα τὴν αὐτοῦ, ὅτι καὶ ἀντειπόντας θρηνεῖ, οὐ δυσχεραίνων μόνον, ἀλλὰ καὶ διορθούμενος καὶ παῤῥήσει, ὥστε αὐτοὺς ἀναλῆσαι. καὶ πῶς ἔνι τοῦτο, φησίν; εἰ γὰρ ἀνάγκη ἐλθεῖν τὰ σκάνδαλα, πῶς δυνατὸν ταῦτα διαφυγεῖν; ὅτι ἐλθεῖν μὲν τὰ σκάνδαλα ἀνάγκη, ἀπολέσθαι δὲ οὐ πάντως ἀνάγκη. ὥσπερ ἂν εἴ τις ἰατρὸς εἶποι (οὐδὲν γὰρ κωλύει τῷ αὐτῷ πάθει χρήσασθαι πάλιν) ἀνάγκη τὴν νόσον τὴνδε ἐπιστῆναι, ἀλλ' οὐκ ἀνάγκη διαφθαρῆναι πάντως τὸν τῆς νόσου ἐπεισέρχοντα. τοῦτο δὲ ἔλεγον, ὅπερ ἔφην, μὴ τὰ ἄλλων καὶ σοῦ μαθητὰ ἀφυπνίζων. ἵνα γὰρ μὴ νυσταζώσιν, ὡς ὅτι εἰρωνίαν καὶ ἀπάθειαν πεμπόμενοι, πολλὰς ἐφεξῆς
β. Κορ. ζ. ε. αὐτοῖς δείκνυσι πολέμους ἔξωθεν, ἔσωθεν· ὅπερ καὶ ὁ Παῦλος δηλῶν ἔλεγεν· Ἔξωθεν μάχαι,
ἔσωθεν φόβοι, κίνδυνοι ἐν ψευδαδέλφοις. καὶ Μιλησίοις δὲ διαλεγόμενος ἔφη, ἀναστήσονται
Matth. ζ. ε. λύκοι ἐξ ὑμῶν λαλοῦντες διεστραμμένα. καὶ ὁ Χριστὸς δὲ ἔλεγεν, Ἐχθροὶ δὲ ἀνθρώπου οἱ οἰκιακοὶ αὐτοῦ. ὅταν δὲ ἀνάγκην εἴπῃ, διὰ τοῦ αὐθαιρέτου τὸ ἀβουλήτου δείκνυσιν, διὰ τῆς ἐλευθερίας τὴν παραιρέσεως, διὰ τῆς ἀνάγκης λύσιν πραγμάτων ὑποβαλλόντων τὸν βίον φησὶ ταῦτα. ἀλλὰ διὰ πάντως ἐσόμενον παρολέγει. ὅπερ ὁ Λουκᾶς ἑτέρᾳ λέξει παρέστησεν εἰπών, ὅτως· ἀνένδεκτόν ἐστι διὰ μὴ ἐλθεῖν τὰ

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

τὰ σκάνδαλα. Τί δέ ἐστι τὰ σκάνδαλα; κωλύματα τῆς ὁρμῆς ὁδοί. οὕτω δὲ καὶ ὅτι τῆς σκηνῆς τοὺς μὲν τὰ ζῶντα δεινοὺς καλοῦσι, τοὺς δὲ τὰ σώματα διαφθείροντας. οὐ τοίνυν ἡ παύρησις αὐτοῦ τὰ σκάνδαλα ἄρα (ἄπαγε) τοῦτο ἔλεγε, διὰ τοῦτο ἦλθεν, ἀλλ' ὅτι πάντως ἔμελλεν ἔσεσθαι, διὰ τοῦτο προεῖπεν· ὡς εἰ γε μὴ ἐβούλοντο καὶ φέροντες αὐτὰ πονηρεύεσθαι, οὐκ ἂν ἦλθον· εἰ δὲ μὴ ἔμελλον ἔρχεσθαι, οὐδὲ ἂν προεῤῥήθη. ὅτι δὲ σκανδαλισθήσονται σκῆνοι καὶ αἰσχυνθήσονται, ἦλθε καὶ προλέγει· τὸ μέλλον ἔσεσθαι. καὶ εἰ διορθώθησαν σκῆνοι, φησι, καὶ μηδεὶς ἔτι ὁ τὰ σκάνδαλα κομίζων, οὐκ ἔμελλεν ὁ λόγος ἔσεσθαι· ψεύδους ἁλίσκεσθαι; οὐδαμῶς. οὐδὲ γὰρ ἂν ἐλέχθη. εἰ γὰρ ἔμελλον διορθοῦσθαι πάντες, οὐκ ἂν εἶπεν, ὅτι ἀνάγκη ἐλθεῖν· ἀλλ' ὅτι προῄδει διορθώτους ἐσομένους οἰκοθεν, διὰ τοῦτο εἶπεν ὅτι πάντως ἥξουσι. καὶ τίνος ἕνεκεν αὐτοὺς οὐκ ἀνῆλε, φησιν; τίνος γὰρ ἕνεκεν ἀναιρεθῆναι ἔδει; διὰ τοὺς βλασφημοῦντας; ἀλλ' οὐκ ἐκεῖθεν καὶ βλασφημοῦντες ἀπόλλυνται, ἀλλ' ἐκ τῆς ἑαυτῶν ῥᾳθυμίας. καὶ δηλοῦσιν οἱ ἐναρέτοι, ὃ μόνον οὐδὲν ἀδικούμενοι ἀντεῖδεν, ἀλλὰ καὶ τὰ μέγιστα κερδαίνοντες, οἷος μὲν ὁ Ἰώβ, οἷος ὁ Ἰωσὴφ, οἱ πάντες δίκαιοι. εἰ δὲ ἀπόλλυνται πολλοί, διὰ τοῦτο ἑαυτῶν ὕπνον. εἰ δὲ μὴ ὕστως εἶχεν, ἀλλὰ διὰ τὰ σκάνδαλα ἡ ἀπώλεια, πῶς ἀπολέσθαι ἔδει. εἰ δέ εἰσιν οἱ διαφεύγοντες, ὁ μὲν Διαφεύγων ἑαυτῷ λογιζέσθω. τὰ γὰρ σκάνδαλα, ὅπερ ἔφην, καὶ διεγείρει καὶ ὀξυτέρους ποιεῖ καὶ ἀκριβεῖς, καὶ οὐ μόνον φυλακτήριον, ἀλλὰ καὶ τὸ προπέσοντα ταχέως αἴρειν. ἀσφαλέστερον γὰρ αὐτὸ ἐργάζεται, καὶ δυσάλωτον μᾶλλον ποιεῖ. ὥστε, διὰ νήφωμεν, οὐ μικρὸν ἀντεῖδεν κέρδους κέρδος, τὸ διηνεκῶς ἐγρηγορέναι. εἰ δὲ πολεμίων ὄντων, καὶ τοσούτων πειρασμῶν ἐπικειμένων καθεύδομεν, τίνες διὰ εἰπεῖν ἐν ἀδείᾳ ζῶντες; καὶ εἰ βάλλει, τὸ προπτον αἰσθητὸν σκέπει. εἰ γὰρ ὀλίγον χρόνον, τάχα ἂν οὐδὲ ἡμέραν ὅλην ἐν τῇ παραδείσῳ ζήσας δὲ πτυφῆς ἀπολωλύσας εἰς τοσοῦτον ἦλθε κακίας, ὡς καὶ ἰσοθεΐαν φαντασθῆναι, καὶ τὸν ἀπατεῶνα θεραπεύειν νομίσαι, καὶ μιᾶς μὴ καταφαγεῖν ὀπτοῦ; εἰ καὶ τὸ ἐφεξῆς βίον ἀπολαβεῖν ἔμελλεν, τί οὐκ ἂν ἐργάσατο; ἀλλ' ὅταν ζῶντα εἰπωμεν, πάλιν ἕτερος ἀντιλέγουσιν ἐρωτῶντες, καὶ διὰ τί αὐτὸν τοιοῦτον ἐποίησεν ὁ Θεός; διὰ τί ὁ Θεὸς τοιοῦτον αὐτὸν ἐποίησεν (ἄπαγε) ἐπεὶ διὰ τί ἂν ἐκόλασεν. εἰ γὰρ ἡμᾶς, ἐν οἷς ἂν ὦμεν αἴτιοι, οὐκ ἐγκαλοῦμεν τοῖς οἰκέταις, πολλῷ μᾶλλον ὁ τῶν ὅλων Θεός. ἀλλὰ πόθεν τοῦτο ἐλήμεθ', φησι; πρὸς ἑαυτὸν καὶ τῆς ἑαυτοῦ ῥᾳθυμίας. τί ἐστι πρὸς ἑαυτόν; ἐρώτησον σαυτόν. εἰ γὰρ μὴ πρὸς ἑαυτὸν εἰσι κακοὶ καὶ κακοὶ, μὴ κόλαζε τὸν οἰκέτην, μηδὲ ἐπίλημα τῇ γυναικὶ ἐν οἷς ἁμαρτάνει, μηδὲ τύπτε τὸν υἱόν, μηδὲ ἐγκάλει τῷ φίλῳ, μηδὲ μίσει τὸν ἐπηρεάζοντά σε [ἐχθρόν.] πάντες γὰρ ἕτοι ἐλεεῖσθαι, καὶ κολάζεσθαι ἄξιοι, εἰ μὴ οἰκοθεν πλημμελοῦσιν. ἀλλ' οὐ δυνάμεθα φιλοσοφεῖν, φησι. καίτοιγε ὅταν Ζωσίμης οὐκ ἐκείνων τινὰ αἰτίαν ὄσαν, ἀλλ' ἀνάγκης ἑτέρας, δυνάμενος φιλοσοφεῖν. ὅταν γοῦν τοσαύτα νόσα κατεχόμενος οἰκέτης μὴ ποιήσῃ τὰ ἐπιταττόμενα, καὶ μόνον οὐκ ἐγκαλεῖς, ἀλλὰ καὶ συγχωρεῖς. οὕτω συμβαίνει, ὅτι ὃ μὲν αὐτός, ὃ δὲ οὐκ αὐτός. ὥστε καὶ ταῦτα, εἰ ἤδεις ὅτι πάντα τοιοῦτος, πονηρὸς ἦν, οὐ μόνον οὐκ ἂν ἐνεκάλεσας, ἀλλὰ καὶ συνεχώρεις ἔδωκας ἄν. καὶ γὰρ ἐπὶ τοῦ νόσου συγχωρεῖς, διὰ Θεοῦ δὲ δημιουργίαν οὐκ ἂν συνέγνως, εἴγε τοιοῦτος ἐξ ἀρχῆς γέγονε. καὶ ἑτέρωθεν ἔστι τοιούτους ἐπισκοπεῖσθαι ῥᾴδιον· πολλὴ γὰρ τῆς ἀληθείας ἡ πρόνοια. διὰ τί γὰρ μηδέποτε ἐνεκάλεσας οἰκέτῃ, ὅτι οὐκ ἔστι καλὸς τῇ ὄψει, ὅτι οὐκ ἔστιν εὐμήκης τὸ σῶμα, ὅτι οὐκ ἔστι πλούσιος; ὅτι τῆς φύσεως ταῦτα. οὐκοῦν τῷ τῆς φύσεως ἐγκλήματι ἀπηλλακται, καὶ οὐδεὶς ἀντερεῖ. ὅταν οὖν ἐγκαλῇς, δείκνυε ὅτι οὐ τῆς φύσεως τὸ ἁμάρτημα, ἀλλὰ τῆς προαιρέσεως. εἰ γὰρ ἐν οἷς οὐκ ἐγκαλοῦμεν, μάρτυρα ἔχομεν τῆς φύσεως τὸ πρᾶγμα, δῆλον ὅτι ἐν οἷς ἐπιτιμῶμεν, δηλοῦμεν ὅτι προαιρέσεώς ἐστι τὸ πλημμέλημα. μὴ τοίνυν μοι λογισμοὺς εἰς μέσον ἄγε διεστραμμένους, μηδὲ σοφίσματα, καὶ πλοκὰς ἀφαιρῶν

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

νῶν ὑστελεστέρως, ἀλλ' ἐκφνο πάλιν ἀποκρινάμενοι· πόθεν ἀνθρωποις ὁ Θεὸς εἰργάσατο; πρὸς τί ποτε δῆλον. πῶς οὖν ὑ πονηροὶ ἴσοι κῆ Ⓦ τῆς ἀρετῆς λόγον, ἢ Ⓦ τῆς κακίας; πόθεν Ⓐ ἀγαθοὶ ἢ χρηστοὶ Ⓒ ὑπείκῃς; πόθεν Ⓐ φαῦλοι ἢ πονηροί; Εἰ γὰρ μὴ γνώμης ταῦτα δῶρα, ἀλλὰ φύσεως ὄντι, πῶς Ⓐ μὴν τοῦτό ἐίσιν, Ⓐ ὃ ἐκφνο; Εἰ μὴν γὰρ φύσει πάντες κακοί, οὐδένα οἷόν τε ἰῶ ἀγαθὸν εἶ). Εἰ δ' ἀγαθοὶ φύσει, οὐδένα κακόν. Εἰ γὰρ μία φύσις ἀνθρώπων ἁπάντων, ἔδει κῆ τῶν πάντας" ἓν εἶ), Εἴτε τοῦτο, Εἴτε ἐκεῖνο ἔμοιγον εἶ). εἰ δ' λέγοιμι, ὅτι φύσει Ⓐ μὴν ἀγαθοὶ, οἱ δ' κακοὶ (ὅπερ οὐκ ἂν ἔγωγε λόγον, ὥσπερ ἀποδείξαμι) ἐγχειῶ ἀκίνητα ταῦτα εἶ). Ταῦτα γὰρ τῆς φύσεως ἀκίνητα. σκόπει δὲ· ἄνθρωποι πάντες κῆ πανθοῖ, κῆ οὐδεὶς ἀπαθής, κἂν μυρία" φιλονεικῆ. νεῦν δ' ὁράμι ἀπὸ χρηστῶν φαύλους πολλοὺς, κἀπὸ φαύλων χρηστοὺς γιομένους, τοῦτ' μὲ ῥᾳθυμία, τοῦτ' δ' ἀσυνδησίᾳ· ὅπερ μάλιστα δείκνυσιν οὐκ ὄντα φύσεως ταῦτα. ὅτε γὰρ μεταβάλλεται, οὔτε ἵνα τηρεῖται, ἀσυνδήτου δεῖται τὰ φυσικά. ὥσπερ γὰρ εἰς ὃ βλέπειν κῆ ἀκούειν ὑ δεόμεθα πόνου, οὕτως ὑδὲ ἐν τῇ ἀρετῇ ἱδρώτων ἡμῖν ἔδει, Εἰ τῇ φύσει" αὐτῇ ἰῶ συγκεκληρωμένη. τίνος δ' ἕνεκεν κῆ φαῦλος ἐποίει, δυνάμενος ἀγαθοὺς ποιῆσαι πάντας; κῆ μὴν φαύλους οὐκ ἐποίησε. πόθεν οὖν τὰ κακά, φησιν; ἐρώτησον σεαυτόν. ἐμὸν γὰρ δεῖξαι, ὅτι ὑχὶ φύσεως οὐδὲ ἀπὸ Θεοῦ. οὐκοῦν αὐτόματα, φησιν; ὐδαμῶς. ἀλλ' ἀμήνητα; δὺ φήμει ἀνθρώπε, Ⓒ ἀποπύδησον τῆς μανίας ταύτης, μιᾷ ῥιπῇ Ⓦ Θεοῦ πίπτων Ⓒ τὰ κακά, κῆ τιμῇ τῇ δυνατῷ. Εἰ γὰρ ἀμήνητα, Ⓒ ἰσχυρὰ ἔσαι κῆ οὐδὲ δυνάσταν ἀθῶναι δυνήσεται, οὐδὲ εἷς ὃ μὴ εἶ) χωρῆσαι. ὅτι γὰρ ὃ ἀμήνητον δυνάμενον ἀνθρώπου, πάντι που δῆλον. πόθεν ὖ κῆ ἀγαθοὶ τοσοῦτοι, τοσαύτην δυνάμιν τοῦ κακοῦ ἔχοντος; πῶς Ⓐ μὴν τοὶ τοῦ ἀμήνητου ἰσχυρότεροι; ἀλλ' ὁ Θεὸς αὐτὰ" αἱρήσει, φησί, ποτε. πῶς ὖ κῆ δυνήσεται ταῦ" ὁμοῦ μα κῆ ὁμοαθενῆ κῆ" ὁμοπλακῆ, ὡς δύ τις εἴποι; ὦ τῆς τοῦ Σατανᾶ κακίας, πόσον ὀξεύρε κακόν; οἵα Ⓦ Θεοῦ τοσοῦτος ἐπεισε βλασφημία; οἵῳ τοσούτῳ μάτι δυσεβείας ἕτερον δύσφημον ἐπενόησε λόγον; βουλόμενοι γὰρ δεῖξαι, ὅτι οὐκ ὀξ αὐτοῦ τὸ κακόν, πονηρὸν ἄλλο δόγμα εἰσήγαγον, ἀμήνητα αὐτὰ φήσαντες εἶ). πόθεν οὖν ταῦτα κακά, φησιν; οὐκ ὃ θέλειν, κῆ μὴ θέλειν. αὖθ' ὖ τὸ θέλειν Ⓒ μὴ θέλειν πόθεν; πρὸς ἡμῶν αὐτῶν. συ ὖ ταύτην ποιῇς ἐρωτῶν, ὡς ἐὰν ἐρωμένου σου, πόθεν τὸ βλέπειν κῆ μὴ βλέπειν; Εἶτα εἰ πόντος μου, οὐκ τοῦ μύειν κῆ μὴ μύειν, πάλιν ἔρειο, αὖθ' ὖ τὸ μύειν κῆ μὴ μύειν πόθεν; Εἶτα ἀκούσας ὅτι ὀξ ἡμῶν αὐτῶν κῆ τὸ θέλειν, αἰτίαν πάλιν ἑτέραν ζητοίης. ὃ γὰρ κακὸν οὐδὲν ἕτερόν ὄστιν, ἀλλ' ἢ τὸ παρακοῦσαι Θεοῦ. πόθεν οὖν τοῦτό, φησιν, ὑρεν ἀνθρωπος; ἔργον" ἄρα ἰῶ τοῦτο ὑρᾶν, Εἰπέ μοι; οὐδὲ γὰρ ἐγὼ τοῦτο φημι, ὅτι δύσκολον τοῦτο. ἀλλὰ πόθεν ἠθέλησε παρακοῦσαι Θεοῦ; ἀπὸ ῥᾳθυμίας. κύριος γὰρ ὢν ἑκατέρων, παρὸς τὸν μᾶλλον ἀπέκλινεν. Εἰ ὖ ἀπορᾷς ἔλι κῆ ἰλιγγιᾷς ταῦτα ἀκούων, ἐγὼ σε ἐρήσομαι οὐδὲν δυσχερές οὐδὲ ποικίλον, ἀλλὰ ἁπλοῦν ἵνα κῆ σαφῆ λόγον. γέγονάς ποτε κακὸς, γέγονας δέ ποτε κῆ ἀγαθός; ὃ ὖ λέγω τοιοῦτόν ὄστιν. ἐκρᾴθυμησάς ποτε πάθος, κῆ ἐάλως πάλιν ὑπὸ πάθους; παρεπέπεσες μέθῃ, κῆ ἐκρᾴθυμησας μέθης; ὠργίσθης πότε, κῆ οὐκ ὠργίσθης; "πρᾴους πένητα, κῆ δ" πρᾴους; ἐπορνεύσας ποτε, κῆ ἐσωφρόνησας πάλιν; πόθεν οὖν ταῦτα πάντα, Εἰπέ μοι; πόθεν; ὅτι (κἂν γὰρ αὐτὸς δ' λέγῃς, ἐγὼ ἐρῶ) ὅτι "ὃ μὲ ἐασυνδησας" κῆ ζωέτεινας σεαυτὸν, μὴ ὖ ταῦτα δέξῃ κῆ ἐῤῥᾳθύμησας. τοῖς μὲ γὰρ ἀπεγνωσμένοις κῆ δι' ὅλου δοῦσιν ὸν κακίᾳ Ⓒ δυσιάθητως ἔχουσι κῆ μαγομένοις κῆ οὐκ ἐθέλουσιν οὐδὲ ἀκούειν τὰ διορθοῦντα αὐτοὺς," οὐδὲ Σωκλέξομαι περὶ φιλοσοφίας· τοῖς ὖ ποτὲ μὲ ὸν τούτῳ, ποτὲ ὖ ὸν ἐκείνῳ γνωμένοις ἡδέως ἐρῶ· ἥρπασάς ποτε μοῦ τὰ μὴ προσήκοντα, μὴ ὖ ταῦτα κατακλασθεὶς ὑπὸ ἐλέου κῆ τῶν σαυτοῦ μετέδωκας τῷ δεομένῳ; πόθεν οὖν αὕτη ἡ μεταβολή; οὐκ οὐδηλον ὅτι ἀπὸ τῆς γνώμης κῆ τῆς προαιρέσεως; ἐὐδηλον· κῆ οὐκ ἔστιν ὅστις ἂν εἴποι τοῦτο. διὰ τοῦτο καλῶ ἀσυνδάζειν κῆ ἀρετῆς ἐχεσθαι, κῆ οὐδὲν δεήσεσθε τῶν ζητη-

μάτ-

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

μὴ τούτων. Τὰ γὰρ κακὰ, ὀνείματα ὄντι μόνον, ἐὰν θέλωμεν. μὴ τοίνυν ζήτει, πόθεν τὰ κακὰ, μηδὲ διαπόρει· ἀλλ' εὑρὼν ὅτι ἀπὸ ῥᾳθυμίας μόνης, φεῦγε τὰ κακά. κἂν εἴπῃ τις, ὅτι δὲ περὶ ἡμῶν ταῦτα· ὅταν ἴδῃς ὀργιζόμενον οἰκέτην τῷ προσοικοδομοῦντι γυναικὶ καὶ ἐγκαλοῦντα παιδὶ τῷ καταγινώσκοντα τῶν ἀδικημάτων, εἶπε πρὸς αὐτόν· πῶς οὖν ἔλεγες, ὅλα δὲ περὶ ἡμῶν τὰ κακά; εἰ γὰρ δὲ περὶ ἡμῶν, τίνος ἕνεκα ἐγκαλεῖς; εἶπε πάλιν, ἀπὸ σαυτοῦ λοιδορεῖς καὶ ὑβρίζεις; εἰ μὴ γὰρ σὸν ἀπὸ σαυτοῦ, μηδείς σοι ὀργιζέσθω· εἰ δὲ ἀπὸ σαυτοῦ, ἀπὸ σοῦ καὶ ἀπὸ τῆς ῥᾳθυμίας τῆς σῆς τὰ κακά. Τί" δαί; νομίζεις τινὰς ἀγαθοὺς; εἰ μὴ γὰρ μηδεὶς ἀγαθός, πόθεν σοι τοῦτο; πόθεν σοι Ⓐ ἔπαινοι; εἰ δὲ εἰσιν ἀγαθοὶ, εὐδηλον ὅτι καὶ τοῖς πονηροῖς ὀπτιμήσουσιν. ἀλλ' εἰ μή τίς ἐστιν ἐκὼν πονηρὸς μηδὲ περὶ ἑαυτὸν, ἀδίκως εὑρεθήσονται ὀπτιμιώτες Ⓐ ἀγαθοὶ τοῖς κακοῖς, καὶ ἔσονται καὶ αὐτοὶ ταύτῃ κακοὶ πάλιν. Τί γὰρ δὺ κάκιον γένοιτ' ἂν τοῦ Ⓦ δυεύθυνον εἶναι βάλλειν ἐγκλήμασιν; εἰ δὲ μένουσιν ἀγαθοὶ καὶ ὀπτιμιώτες, καὶ τοῦτο μάλιστα τῆς ἀγαθότητος αὐτῶν δεῖγμα, καὶ τοῖς σφόδρα δυσκόλοις καὶ τοῦτο δῆλον, ὅτι οὐδεὶς οὐδέποτε ἀνάγκῃ κακός. Εἰ δὲ καὶ μὴ ταῦτα πρῶτα ζητοίης, πόθεν τὰ κακὰ, ἀπὸ ῥᾳθυμίας εἶποιμ' ἄν, ἀπὸ ἀργίας, ἀπὸ τοῦ πονηροῖς συγγίνεσθαι, ἀπὸ τοῦ καταφρονῆν ἀρετῆς. ἐντεῦθεν καὶ τὰ κακὰ, καὶ τὸ ζητεῖν τινας, πόθεν τὰ κακά· ὡς τῷ γε κατορθούντων οὐδεὶς ταῦτα ὀπτίζητεῖ, τῷ ὀπτικῶς καὶ σωφρόνως ζῆν προαιρουμένων. ἀλλ' Ⓐ πονηρὰ τολμῶντες ἐκ ῥᾳθυμίαν τινὰ" δύσκολον δηλοῦσι τούτων βουλόμενοι τῶν λόγων ὑπνοῦν, ἀραχνῶν ὑφάσματα πλέκουσιν. ἀλλ' ἡμεῖς ταῦτα μὴ διὰ λόγων μόνον, ἀλλὰ καὶ διὰ τῶν ἔργων διαῤῥήξωμεν. οὐδὲ γὰρ ἀνάγκης ἐστὶ ταῦτα. Εἰ γὰρ ἀνάγκης ἦν, οὐκ ἂν εἶπεν· οὐαὶ τῷ ἀνθρώπῳ, δι' οὗ" τὰ σκάνδαλα ἔρχεται. ἐκείνης γὰρ μόνης ταλανίζει, οὐκ ἐκ προαιρέσεως πονηρᾶς. Εἰ γὰρ, δι' ὃ, λέγει, μὴ θαυμάσῃς. οὐ γὰρ ὡς ἑτέρᾳ δι' αὐτὴν εἰσαγομένου τοῦτό φησιν, ἀλλ' ὡς αὐτὴν ὃ πάνυ κατασκευάζοντος. οἷον γὰρ ὃ δι' ὅ, τοῦτ' ἔστι λέγει ἡ γραφή· ὡς ὅταν λέγῃ, Ἐκπαίδευε ἄνθρωπον διὰ τὸν Θεόν, Γεν. δ'. α. οὐ τὸ δεύτερον αἴτιον, ἀλλὰ τὸ πρῶτον τίθεται. καὶ πάλιν· οὐχὶ διὰ τὸν Θεὸν ἡ διαστροφὴ τοῦ γένους αὐτῶν ἐστι; καὶ, Πιστὸς ὁ Θεὸς, δι' οὗ ἐκλήθημεν εἰς κοινωνίαν τοῦ υἱοῦ αὐτοῦ. καὶ ἵνα μάθῃς ὅτι οὐκ εἰσὶν ἀνάγκης, ἀκουσον καὶ τῆς ἐξῆς. μὴ γὰρ τὸ ταλανίζειν φησίν. α. Κορ. α, θ.

8 Εἰ ἡ χεὶρ σου, ἢ ὁ πούς σου σκανδαλίζει σε, ἔκκοψον αὐτὰ καὶ" ἔκβαλε ἀπὸ σοῦ. καλόν γάρ σοί ἐστιν εἰσελθεῖν εἰς τὴν ζωὴν χωλὸν ἢ κυλλὸν, ἢ δύο χεῖρας ἢ δύο πόδας ἔχοντα βληθῆναι εἰς τὸ πῦρ τὸ αἰώνιον.

9 Καὶ εἰ ὁ ὀφθαλμός σου ὁ δεξιὸς σκανδαλίζει σε, ἔξελε αὐτὸν καὶ βάλε ἀπὸ σοῦ. καλόν σοί ἐστι μονόφθαλμον εἰσελθεῖν εἰς τὴν ζωὴν, ἢ δύο ὀφθαλμοὺς ἔχοντα βληθῆναι εἰς τὴν κάμινον τοῦ πυρός.

Οὐ περὶ μιᾶς ταῦτα λέγων (ἅπαντες) ἀλλὰ περὶ φίλων, περὶ τῶν προσηκόντων, ὃς ἂν ταύτης μιᾶς ἔχωμεν ἀναγκαίων. τοῦτο καὶ ἀνωτέρω εἴρηκε, καὶ νῦν λέγει. σοβερὸν γὰρ ὄντως βλάβερον, ὡς ζημιοῦσθαι πονηρά. ὅταν γὰρ ἀνάγκη μὴ δυῆται, δυῆται φιλία πολλάκις καὶ εἰς βλάβην καὶ εἰς ὠφέλειαν. διὰ μὲν πολλῆς τῆς σφοδρότητος τοὺς βλάπτοντας ἡμᾶς ἐκκόπτειν κελεύει, τούτους αἰνιττόμενος τοὺς τὰ σκάνδαλα φέροντας. εἶδες πῶς τὴν ἐσομένην ἐκ τῶν σκανδάλων ἀνεκρούσατο βλάβην τῷ προφθεῖν ὅλα πάντως ἔσαι, ὥστε μηδένα ἐν ῥᾳθυμίᾳ εὑρῆν, ἀλλὰ προσδοκᾶν ἅπαντας αὐτὰ νήφειν, ὧν δείξας μεγάλα ὄντα κακὰ, οὐ γὰρ δὺ ἁπλῶς εἶπεν, οὐαὶ τῷ κόσμῳ ἀπὸ τῶν σκανδάλων, ἀλλὰ δεικνὺς μεγάλην τὴν ἐξ αὐτῶν λύμην, τῷ [δὲ] ταλανίσας πάλιν Ⓦ εἰσάγοντα αὐτὰ, μείζονα δείκνυσιν ἐντεῦθεν τὴν βλάβην. ὃ γὰρ εἶπεν, πλὴν οὐαὶ τῷ ἀνθρώπῳ ἐκείνῳ, πολλὴν δεικνύοντος ἦν τὴν ἀμοιρείαν. οὐ τοῦτο δὲ μόνον, ἀλλὰ καὶ τῇ τοῦ παραδείγματος προσθήκῃ ἤυξησε τὸν φόβον. εἶπε γὰρ οὐκ ἀρκέσει ταῦτα, ἀλλὰ καὶ δείκνυσι τὴν ὁδὸν, δι' ἧς ἂν τις διαφύγοι τὰ σκάνδαλα. Τίς

δὲ

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

δὲ ἐστὶν αὕτη; τοῦ πονηροῦ, φησι, κἂν σφόδρα σοι φίλοι ὦσιν, ἀποτεμνε τῆς φιλίας. καὶ λέγει λογισμὸν ἀναντίρρητον. δοῦλός μου γὰρ μόνος φίλος, ὅτε αὐτὸς κερδανεῖς, καὶ σαυτὸν προσαπολεῖς· ἂν δὲ ἀποτέμνῃς, τῷ ὄντι σαυτοῦ σωτηρίαν καρπώσῃ. ὥστε εἴ τινός σε φιλία βλάπτει, ἔκκοψαι καὶ ἀπὸ σοῦ. εἰ γὰρ τῶν ἡμετέρων μελῶν πολλάκις ἀποτέμνομεν, ὅταν αὐτά τε αἰτίατος ἔχῃ καὶ τοῖς λοιποῖς λυμαίνηται, πολλῷ μᾶλλον ὅταν φίλων τοῦτο ποιῇ λόγος. εἰ δὲ φύσει ἐστὶ τὰ κακά, πῶς ἔτι πάσα αὕτη ἡ συμβουλή, πῶς ἔτι ἡ τῶν εἱρημένων φυλακή. εἰ δὲ οὐ πῶς ἔτι, ὥσπερ οὖν καὶ οὐδὲ πῶς ἔτι, ἔνδηλον ὅτι γνώμης ἡ παραίνεσις.

10 Ὁρᾶτε μὴ καταφρονήσητε ἑνὸς τῶν μικρῶν τούτων. λέγω γὰρ ὑμῖν, ὅτι οἱ ἄγγελοι αὐτῶν διὰ παντὸς βλέπουσι τὸ πρόσωπον τοῦ πατρός μου τοῦ ἐν οὐρανοῖς. Μικροὺς τοὺς ἀληθῶς μικροὺς καλεῖ, ἀλλὰ τοὺς νομιζομένους παρὰ τοῖς πολλοῖς, τοὺς πτωχούς, τοὺς ἀκαταφρονήτους, τοὺς ἀγαπᾶσθαι. πῶς γὰρ ἂν εἴη μικρός, ὁ τοῦ κόσμου παντὸς ἀνάξιος; πῶς ἂν εἴη μικρός, ὁ τῷ Θεῷ φίλος; ἀλλὰ τοὺς παρὰ τῇ τῶν πολλῶν ὑπονοίᾳ τοιούτους νομιζομένους. καὶ οὐ λέγει περὶ πολλῶν μόνον, ἀλλὰ κἂν περὶ ἑνός, κἀντεῦθεν πάλιν ἀποτειχίζων τὴν τῶν πολλῶν σκανδαλον βλακείαν. ὥσπερ γὰρ τὸ φιλῆσαι τοὺς πονηροὺς, οὕτω τὸ μισῆσαι τοὺς χρηστοὺς κέρδος ἔχει μέγιστον· καὶ διπλῆ γίνοιτ' ἂν ἀσφάλεια τῷ προσέχοντι· μία μὲν ἐκ τοῦ τὴν σκανδαλιζόντων τὰς φιλίας ἐκτέμνειν, ἑτέρα δὲ ἐκ τοῦ τοὺς ἁγίους τούτους ἔχειν ἐν θεραπείᾳ καὶ τιμῇ. εἶτα καὶ ἑτέρωθεν αὐτοὺς αἰδεσίμους ποιεῖ λέγων, ὅτι οἱ ἄγγελοι αὐτῶν διὰ παντὸς βλέπουσι τὸ πρόσωπον τοῦ πατρός μου τοῦ ἐν οὐρανοῖς. ἐντεῦθεν δῆλον, ὅτι ἀγγέλους ἔχουσιν οἱ ἅγιοι ἐκεῖ πάντες. καὶ γὰρ ὁ ἀπόστολος φησι περὶ τῆς γυναικός, ὅτι ὀφείλει ἐξουσίαν ἔχειν διὰ τοὺς ἀγγέλους. Δαυ. λϛ. π. καὶ Μωϋσῆς ἔφησεν ὅτι ἐλήλυθεν κύριος ἐν ἀριθμῷ ἀγγέλων Θεοῦ. ἐνταῦθα δὲ περὶ ἀγγέλων διαλέγεται μόνον, ἀλλὰ καὶ περὶ ἀγγέλων ἀρχόντων. ὅταν δὲ εἴπῃ, τὸ πρόσωπον τοῦ πατρός μου, οὐδὲν ἕτερον, ἢ τὸν πλείονα παῤῥησίαν λέγει τὸν πολλὸν ὁμιλοῦν.

11 Ἦλθε γὰρ ὁ υἱὸς τοῦ ἀνθρώπου σῶσαι τὸ ἀπολωλός.

Πάλιν ἕτερον λογισμὸν λέγει τοῦ μείζονα, τὸν παῤῥησίαν ποιοῦντα, δι' ἧς καὶ πατέρα εἰσάγει ταῦτα βουλόμενον.

12 Τί δὲ ὑμῖν δοκεῖ, φησι; ἐὰν γένηταί τινι ἀνθρώπῳ πρόβατα ἑκατόν, καὶ πλανηθῇ ἓν ἐξ αὐτῶν, οὐχὶ ἀφεὶς τὰ ἐνενηκονταεννέα, ἐπὶ τὰ ὄρη πορευθεὶς ζητεῖ τὸ πλανώμενον;

13 Καὶ ἐὰν γένηται εὑρεῖν αὐτό, χαίρει ἐπ' αὐτῷ μᾶλλον, ἢ ἐπὶ τοῖς ἐνενηκονταεννέα τοῖς μὴ πεπλανημένοις.

14 Οὕτως οὐκ ἔστι θέλημα ἔμπροσθεν τοῦ πατρὸς ὑμῶν, ἵνα ἀπόληται ἓν τῶν μικρῶν τούτων. Ὁρᾶς διὰ ὅσων ἡμᾶς ἀνάγει εἰς τὸ τῶν αὐτελῶν ἀδελφῶν ἐπιμέλειαν; μὴ τοίνυν εἴπῃς, χαλκοτύπος ἐστὶν ὁ δεῖνα, ἐσοδηματορράφος, γεωργός ἐστιν, ἀσήμαντός ἐστι, καὶ καταφρονήσῃς. ἵνα γὰρ μὴ τοῦτο σαθῇς, ὅρα διὰ πόσων σε πείθει μετεπαίζειν, καὶ εἰς τὸν τούτων ἐπιμέλειαν ἐμβάλλει. ἔφησε παιδίον, καὶ φησι, γίνεσθε ὡς τὰ παιδία, ὃς, ὃς ἐὰν δέξηται παιδίον τοιοῦτον, ἐμὲ δέχεται, καὶ ὃς ἐὰν σκανδαλίσῃ, τὰ ἕξῆς πείσεται. καὶ οὐδὲ ἠρκέσθη τῇ παραδείγματι τῷ τοῦ μώλωπος, ἀλλὰ καὶ ὃ ὀνειδισμὸν ἐπῆκε, καὶ οὐ τοιούτους ἐκτέμνειν ἐκέλευσε, κἂν ἐν ταῖς χερσὶν ὦσι καὶ ὀφθαλμοὶ ἡμῖν. καὶ ἀπὸ τῶν ἀγγέλων πάλιν τῶν ἐγχειρισμένων αὐτοὺς, τούτους τοῦ αὐτελοῦς ἀδελφοὺς αἰδεσίμους ποιεῖ, καὶ ἀπὸ τοῦ οἰκείου θελήματος καὶ πάθους (ὅταν γὰρ εἴπῃ, ἦλθεν ὁ υἱὸς τοῦ ἀνθρώπου σῶσαι τὸ ἀπολωλός, καὶ σαφῶς δηλοῖ, καθάπερ καὶ Παῦλός φησι, περὶ τοῦ ἀδελφοῦ λέγων, δι' ὃν Χριστὸς ἀπέθανε) καὶ ἀπὸ τοῦ πατρός, ὅτι οὐδὲ αὐτῷ δοκεῖ ἀπολέσθαι, καὶ ἀπὸ τῆς χρηστῆς ζωοποιίας, ὅτι καταλιπὼν τὰ σεσωσμένα ὁ ποιμὴν ζητεῖ τὸ ἀπολωλός, καὶ ὅταν εὕρῃ τὸ πεπλανημένον,

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

πλημμύρων, σφόδρα ἥδεται τῇ εὑρέσει καὶ τῇ σωτηρίᾳ τότε. Εἰ τοίνυν ὁ Θεὸς ὅτῳ χαίρει ἐπὶ ᾧ μικρῷ τῷ εὑρεθέντι, πῶς σὺ καταφρονεῖς τῶν τῷ Θεῷ ἀδιαπαύστων, δέον καὶ τὴν ψυχὴν αὐτὴν ἀδιαπαύστως ἐκδέχεσθαι μικρῶν τότων; ἀλλὰ ἀσθενὴς ἔστι καὶ εὐτελής; διὰ αὐτὸ μᾶλλον οὖν τοῦτο μάλιστα δεῖ πάντα ποιεῖν, ὥστε αὐτὸν διασώζειν. καὶ γὰρ καὶ οἱ ἐνενηκονταεννέα ἀφεὶς ἀδιαπαύστως ἐπ' ἐκεῖνο ἦλθε, καὶ οὐκ ἴσχυσε τῶν τοσούτων ἡ σωτηρία συσκιάσαι τὸ ἑνὸς τοῦ ἀπολειφθέν. ὁ δὲ Λάκχαῖος, ὅτι καὶ ἐπὶ τῶν ὤμων ἐβάστασε, φησί· καὶ μείζων ἦν χαρὰ ἐπὶ ἑνὶ ἁμαρτωλῷ μετανοοῦντι, ἢ ἐπὶ ἐνενηκονταεννέα δικαίοις. καὶ ἀπὸ τοῦ ἐγκαταλιπεῖν καὶ σεσωσμένα διὰ αὐτό, καὶ ἀπὸ τοῦ μᾶλλον ἐπὶ τούτῳ παθεῖν, πολλοῦ ἔδειξε τοῦ περὶ αὐτοῦ σπουδοῦ. μὴ δὴ οὖν ἀμελῶμεν τῶν ψυχῶν τῶν τοιούτων· καὶ γὰρ πάντα ταῦτα δι' αὐτό ἐστιν. τῷ μὲν γὰρ ἀπειλήσαι μηδ' ὅλως ἐπιβήσεσθαι τῶν ἀγρῶν μὴ γυμνάσαντα παιδίον, καὶ τῷ μύλε μνησθῆναι, τὸ φόνον κατεύηχε τῶν ἀλαζόνων. οὐδὲν γὰρ ὕστερον ἀγαθὸν πόλεμον, ὡς ἀπόνοια. τῷ δὲ εἰπεῖν, ἀνάγκη ἐστὶν ἐλθεῖν καὶ σκάνδαλα, ἐξηγορεύσας ἐποίησε· ᾧ δὲ προσθεῖναι, οὐαὶ δι' οὗ τὰ σκάνδαλον ἔρχεται, ἕκαστον σπουδάζειν μὴ δι' αὐτοῦ γενέσθαι προσκόψασε. καὶ τῷ μὲν κελεῦσαι ἐκκόψαι τὸν σκανδαλίζοντας, οὐκοῦν τοῦ σωτηρίου ἐποίησε· ᾧ δὲ ἐπιτάξαι μὴ καταφρονεῖν αὐτῶν, οὐδὲ μὴν ἁπλῶς ἐπιτάξαι, ἀλλὰ σφόδρα (ὁρᾶτε γάρ, φησί, μὴ καταφρονήσητε ἑνὸς τῶν μικρῶν τούτων) οὐδὲ ᾧ εἰπεῖν ὅτι ἄγγελοι αὐτῶν βλέπουσι τὸ πρόσωπον τοῦ πατρός μου τοῦ ἐν οὐρανοῖς, οὐδὲ ὅλα δι' τοῦτο ἦλθον ἐγώ, καὶ ὅτι ὁ πατήρ μου τοῦτο βούλεται, οὐκοῦν ὀφείλοντας αὐτῶν ἐπιμελεῖσθαι σπουδαιοτέρους ἐποίησεν. ὁρᾶς ἔσον τεῖχος αὐτοῖς προσέλαβε, καὶ πόσῳ τῶν ἀνακαφρονητῶν καὶ τῶν ἀπολλυμένων ποιᾷ σπουδήν, ἀπειλάς τε ἀνῆκεν κατὰ τοῖς ὑποσκελίζουσιν αὐτούς, καὶ μεγάλας ἐπαγγελλόμενος ἀγαθὰ τοῖς θεραπεύουσι καὶ ἐπιμελουμένοις αὐτῶν, καὶ πρὸς ἑαυτὸν πάλιν τὸ ὑπόδειγμα φέρων οὐδαμοῦ τοῦτο παύεται;

Τοῦτον οὖν ἡμᾶς μιμησώμεθα, μηδὲν καταπτύοντες τῶν δοκούντων εἶναι ταπεινῶν τε καὶ μοχθηρῶν, ὑπὲρ τῶν ἀδελφῶν· ἀλλὰ ἐὰν ἀφαιρεθῆναι δέῃ, κἂν μικρὸς ᾖ, κἂν εὐτελὴς ὑπὲρ οὗ τοῦτο γένηται, κἂν ὀπίπονον τὸ πρᾶγμα ᾖ, κἂν ὄρη καὶ χρημνοὺς ἀφαιρεῖσθαι χρή, πάντα ἕξω φορητὰ διὰ τὴν σωτηρίαν τοῦ ἀδελφοῦ. οὕτω γὰρ εὐπρόσδεκτον ψυχὴ Θεῷ, ὡς μηδὲ τοῦ ἰδίου ἡμῶν φείσασθαι. διὸ παρακαλῶ, καὶ ὁρίζω τοῦ φθόνου φθονέντος, δίκαιος ἐξιόντες ἀπὸ τῆς οἰκίας τοῦτον ἕνα σκοπὸν ἔχωμεν, καὶ ταύτην πρὸ πάντων σπουδήν, ὃ καὶ κινδυνεύειν καὶ ἀποθνήσκειν· οὐ λέγω τοῦτον μόνον καὶ κινδύνων καὶ ἀληθῶς (οὗτος γὰρ οὐδὲ κίνδυνος) ἀλλὰ καὶ τῆς ψυχῆς, καὶ πρὸ τοῦ ἁμαρτάνειν τοῖς ἀναθήποις ὑπαφερόμενον. καὶ γὰρ ὁ ἔμπορος, ὥστε ἀξιῶσαι τὴν πρᾶσιν, πολλοὺς ἀφαιρεῖται· καὶ ὁ χειροτέχνης, ὥστε πρόσθεσιν ποιεῖν τοῖς ἐπ' ἀρχῆς, πάντα ποιεῖ· καὶ ἡμᾶς χρὴ μὴ τῆς σωτηρίας μόνον ἀνακώμεθα τῇ ἡμετέρᾳ, ἐπεὶ καὶ ταύτην λυμαινόμεθα. καὶ γὰρ ἐν πολέμῳ καὶ πρὸ παντὸς ὁ πρὸς τοῦτο μόνον ὁρᾶν φρατιώτης, ὅπως ἑαυτὸν ἀφανίσειε σκεφυγών, καὶ οὐδὲν ἄλλους μᾶλλον ἑαυτῷ προσαπόλλυσιν. ὥσπερ οὖν ὁ ἡνίοχος καὶ ἐπὶ τῶν ἄλλων τὰ ὅπλα ἀφέλκυσε, μὴ τῶν ἄλλων καὶ ἑαυτὸν ἀφανίζει. ἐπεὶ οὖν καὶ τὰ ἡμέτερα πόλεμος, καὶ πολέμων ἀπάντων ὁ πικρότατος, καὶ παράταξις καὶ μάχη, ὡς ὁ βασιλεὺς ἡμῶν ἐκέλευσεν, οὕτω ταπεινώμεθα ἐπὶ τῆς παρατάξεως, πρὸς σφαγὰς καὶ αἵματα καὶ φόνους προσκυσαμένοι, πρὸς τὸν ἐπὶ ἀπάντων σωτηρίαν βλέποντες, καὶ τὰς ἐγκόψας ἀλείφοντες, καὶ τὰς κεφαλὰς ἐπείροντες. καὶ γὰρ πολλοὶ τῶν ἀδελφῶν τῶν ἡμετέρων ἐν ταύτῃ κεῖνται τῇ παρατάξει τραύματα ἔχοντες καὶ αἵματι περιῤῥεόμενοι, καὶ ὁ θεραπεύων οὐδείς, ἀλλ' ὁ τῶν λαῶν ἡμῶν, ἀλλ' ἱερεύς, οὐκ ἄλλος οὐδείς, ἀλλὰ παρακάτης, ἀλλ' φίλος, οὐκ ἀδελφός· ἀλλὰ τὰ ἑαυτῶν σκοπούμενος ἕκαστος. ἀφ' οὗτος καὶ ἐν ἑαυτῷ κολοβούμεθα. ἡ γὰρ μεγίστη πρόνοια καὶ ἡ εὐδοκιμησις, ὃ μὴ τὰ ἑαυτῶν σκοπεῖν. ἀφ' οὗ τοι τοῦτο ἀδυνατεῖς καὶ ἀνακαταγώνιστος εἶ ἀνθρώπως καὶ ἀφόβου, ὅτι ὃ ἐναντίον τούτου ζητοῦμεν, καὶ οὐ [illegible]

ΗΘΙΚΟΝ

ζομεν ἀλλήλοις, οὐδὲ πεφράγμεθα τῇ τοῦ Θεοῦ ἀγάπῃ, ἀλλ' ἑτέρας ἑαυτοῖς ὀπίζητοῦμεν φιλίας παρέφασεις, ἢ μὴ ἀπὸ συγγενείας, ἢ οὐ ἀπὸ ζωηθείας, ἢ οὐ ἀπὸ κοινωνίας, ἢ οὐ ἀπὸ γλυκύτητος, ἢ πρώτοθεν μᾶλλον ἐσμεν φίλοι, ἢ ἀπὸ εὐσεβείας, δέον ἐκ ταύτης μόνης ζωάπτεσθαι τὰς φιλίας. νεῦσον τοιγαροῦν *, Ἰουδαίοις καὶ Ἕλλησίν ἐστιν ὅπου γενόμεθα φίλοι, ἢ τοῖς τῆς ἐκκλησίας τέκνοις. ναί, φησιν· ὁ μὲν γὰρ ἐστι μαθητής, ὁ δὲ χρηστὸς καὶ ἐπιεικής. τί λέγεις; μαθητὴν ⟨W⟩ ἀδελφὸν καλεῖς, ὁ μηδὲ ῥαπὶ καλεῖν κελεύσας; καὶ ἁρμόττει οὐδὲ ἑρυθριᾷς ἐκπορπεύων ⟨W⟩ ἀδελφόν; ὁ λόγος ὁ σός; ⟨W⟩ τῶν αὐτῶν σοι κοινωνήσαντα ὠδίνων; ⟨W⟩ τῆς αὐτῆς μεταλάβοντα τραπέζης; ἀλλ' εἰ μὴ ἵνα τοῦ σάρκα ἀδελφὸν ἔχοις, κἂν μυρία ἐργάζηται κακά, ἀπουδάζεις αὐτὸν παρισέλειν, καὶ νομίζεις καὶ αὐτὸς τῆς ἁγιωσύνης κοινωνεῖν, ἐκείνου καταγινομένου· τὸν δὲ πνευματικὸν ἀδελφόν, δέον ἐλευθεροῦσαι ὀχλοπλῆς, σὺ δὲ καὶ μυρίαις παρεβάλλεις κατηγορίαις *. μαθητὴς γάρ ἐστι δυσανάσχετος, φησιν. ἀκοῦσον ὀχλοῦντος φίλου, ἵνα παύσῃς ὄντα τοιοῦτον, ἵνα μεταβάλῃς, ἵνα ἐπιμαγάγῃς ὅπως τὸν ἄγριον. ἀλλ' οὐ πείθεται, φησίν, οὐδὲ ἀνέχεται τῆς συμβουλῆς. πόθεν οἶσθα; προήνεσας γὰρ καὶ διορθῶσαι ἐπεχείρησας; προῄνεται πολλάκις, φησί. ποσάκις; πολλάκις, καὶ ἁπαξ καὶ δεύτερον. βαβαί, τοῦτο ἐστὶ τὸ πολλάκις; εἶτα γὰρ ὀργὴ πρῶτος τοῦτο ἐποίεις τὸ χρόνῳ, καὶ μεῖνε ἐχρῆν καὶ ἀπαγορεῦσαι; οὐχ ὁρᾷς πῶς ὀργὴ πρὸς ὁ Θεὸς ἡμῖν προσκρούει; ὀργὴ τῶν προφητῶν, ὀργὴ τῶν ἀποστόλων, ὀργὴ τῶν εὐαγγελιστῶν; τί οὖν; πρῶτα καταρθώσαμεν καὶ πρῶτα ἐπείσθημεν; οὐδαμῶς. ἆρ' οὖν ἐπαύσατο προσκρούων; ἆρα ἐσίγησεν; ὃ καθ' ἑκάστην λέγει τὴν ἡμέραν, Οὐ δύνασθε Θεῷ δουλεύειν καὶ μαμωνᾷ, καὶ αὔξεται * πολλοῖς τῶν χρημάτων Ανκ. 16. 13. Ματθ. 6. κδ. ἡ πρόσοδος καὶ ἡ τυραννίς; οὐ καθ' ἑκάστην βοᾷ· ἀφέτε, καὶ ἀφεθήσεται ὑμῖν, ἢ ἡμεῖς ἐκπεπληγμένοι μᾶλλον; καὶ ὀργὴ πρῶτος προσκρούει κρατεῖν ὀπὶ θυμίας, καὶ εἶτα κρείττων ἡδονῆς πονηρᾶς; πολλοὶ γοῦν χείρων μᾶλλον ἐγκαλινδεῖσθαι τῇ ἁμαρτίᾳ ταύτῃ ἀλλ' ὅμως οὐ παύεται λέγων. τίνος οὖν ἕνεκα μὴ ταῦτα πρὸς ἑαυτὸν λογιζόμεθα καὶ λέγομεν, ὅτι καὶ ἡμῖν ὁ Θεὸς προσλέγεται, καὶ σὺν ἀφίσταται τοῦτο ποιῶν, κἀκεῖ πολλὰ προσκούοντων ἡμῶν; ὀργὴ ταῦτα ἔλεγεν, ὀλίγοι δὲ σῳζόμενοι. εἰ γὰρ σὺν ἀρκεῖ εἰς σωτηρίαν ἡμῖν ἡ καθ' ἡμᾶς ἀρετή, ἀλλὰ δεῖ καὶ ἑτέρους ἐλθεῖν ἀπελθεῖν, ὅταν μήτε ἑαυτὸν μήτε ἑτέρους προσώσωμεν, τί πείσομαι; πόθεν ἐλπίδα λοιπὸν σωτηρίας ἔξομεν; ἀλλὰ τί ταῦτα ἐγκαλῶ, ὅταν μηδὲ τῶν ζωοκομούντων λόγον τινὰ ποιώμεθα, γυναικὸς καὶ παίδων καὶ οἰκετῶν, ἀλλ' ἑτέρων ἀπ' ἑτέρων μεμνήμεθα, καθάπερ ἢ μεθύοντες, ὅπως ἢ μὴ οἰκέται πλείους ἡμύοντο, καὶ μὴ πολλῆς τῆς ἀπουδῆς ἡμῖν προσκηνήσαιεν, ἢ οὐ παῖδες πολιοὶ πρὸ ἡμῶν δέξαιντο κλῆρον, ἢ οὐ γυνὴ χρυσία φοίνικα καὶ ἱμάτια πολυτελῆ καὶ κλήματα; καὶ μηδαμοῦ ἑαυτῶν φροντίζομεν, ἢ προνοούμεθα, ἀλλὰ τῶν τῆς γυναικός, ὅτε τοῦ παιδίου, ἀλλὰ τὸ τοῦ παιδίου. καὶ ταῦτον ποιοῦμεν, οἷον αἰ εἴ τις οἰκίαν ὁρᾷ καλῶς προσκειμένην καὶ σὺν τοίχοις κλινομένοις, ἀφεὶς ἀνασῴσαι τοῦτος, προβόλους αὐτῇ μεγάλους ἔξωθεν καταστηρίζοι ἢ σώματος παθεννικότος, τοῦτο μὴ ὑπομένοιτο, ἱμάτια οὖν αὐτῷ χρυσᾶ ὑφαίνοι ἢ τῆς δεσποίνης καλῶς προσκειμένης θεραπαινίδων καὶ ἴσων τῶν τοῦ οἰκίδιου σκευῶν καὶ τῶν ἄλλων ὑπομελοῖτο, ἐκείνῳ ἀφεὶς ἐρρίφθαι καὶ οἰμώζειν. τοῦτο γὰρ καὶ νῦν γίνεται. καὶ τῆς ψυχῆς ἡμῖν καλῶς προσκειμένης ἀθλίως, καὶ θυμουμένης καὶ λοιδορουμένης καὶ ὑπὸ θυμούσης ἀτόπως, καὶ κενοδοξούσης καὶ σπαζούσης καὶ πρὸς χλιαρὸν συρομένης καὶ ὑπὸ θηρίων τοσούτων παραπτοημένης, ἀφέντες αὐτῆς ἀπελάσαι τὰ πάθη, οἰκίας καὶ οἰκετῶν φροντίζομεν. καὶ εἰ μὴ ἄρκλος λαθοῦσα ἀποφύγοι, τὰς οἰκίας ἀποκλείομεν, καὶ τοῦ γενωποιοῦ τρέχομεν, ὥστε μὴ προσπεσεῖν τῷ θηρίῳ· νυνὶ δὲ οὐχ ἑνὸς θηρίου, ἀλλὰ πολλῶν ἡμῖν λογισμῶν τοιούτων τὸν ψυχὸν παραβαλόντων οὐδὲ αἰσθησιν λαμβάνομεν. καὶ ὃν μὲν τὴν πόλει τοσαύτην ποιούμεθα ἀπουδήν, ὡς ὃν ἐρήμῳ τόπῳ ἢ ὃν γαλεάγραις καθειργνὺν τὰ θηρία, καὶ ὅταν πρὸς τὸ βουλευτήριον τῆς πόλεως,

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

πόλεως, ὅτε πρὸς τοὺς δικαστηρίοις, οὔτε πρὸς τοὺς βασιλείοις, ἀλλὰ πόρρω πᾶν τὸ μαχαίρᾳ δεδεμένα κατέχομεν· ὅπου γὰρ ἡ ψυχῆς, ἔνθα τὸ βουλευτήριον, ἔνθα τὰ βασίλεια, ἔνθα τὸ δικαστήριον, ἄνεισι τὰ θεῖα πρὸς τὸν νοῦν αὐτὸν καὶ τὸν θρόνον τὸν βασιλικὸν κράζοντα καὶ θορυβοῦντα. διὰ τοῦτο τὰ πάντα ἄνω καὶ κάτω γίνεται, καὶ πάντα μεστὰ ταραχῆς, τὰ ἔνδον, τὰ ἔξω, καὶ οὐδὲν διεσπασμένον ἕκαστος ἡμῶν πόλεως ἐστὶ καταδρομῆς βαρβάρων θορυβουμένης καὶ ταὐτὸν γίνεται, ὅταν ἀνεῳγότος δράκοντος νεοττία τρυφῶν ὑπολιθέμενα, πάντα χοῦ τείζοντες οἱ τρυφοὶ πέτονται φοβούμενοι καὶ ταραχῆς γέμοντες, οὐκ ἔχοντες ὅπου καταλύσωσι τὴν ἀγωνίαν. διὸ παρακαλῶ, τὸν δράκοντα ἀνέλωμεν, συγκλείσωμεν τὰ θεῖα, ἀποπνίξωμεν, καταφάξωμεν· καὶ οὐκ ποιήσεις τύλας λογισμοὺς τῇ μαχαίρᾳ τοῦ πνεύματος παραδῶμεν, ἵνα μὴ καὶ ἡμῖν ἀπειλῇ τοιαῦτα ὁ τροφήτης, οἷα καὶ τῇ Ιουδαίᾳ· Οπι ὀνοκένταυροι κεῖ ὀρχήσουσι) καὶ ἔχιδναι καὶ δράκοντες. εἰσὶ γάρ, εἰσὶ Ησ.ιγ.κϛ.
καὶ δαίμονες ὀνοκενταύρων χείρους, καθάπερ ἐν ἐρημίᾳ ζῶντες καὶ λακτίζοντες καὶ τὸ πλέον τῆς νεότητος πρὸς ἡμῶν τοιοῦτον. καὶ γὰρ ἀγελίας ἔχοντες ὑπερηφανίας οὕτω παθῶσιν, οὕτω λακτίζουσιν, ἀχαλίνωτοι φερόμενοι, καὶ τῇ ἀσωτίᾳ τοὺς οὐδὲν τῶν δεόντων φρονοῦντας. αἴτιοι δὲ οἱ πατέρες, οἱ τοὺς μὴ πωλοδάμνας ἀναβιβάζουσι τοὺς ἵππους τοῦ ἑαυτῶν ρυθμίζειν μετὰ πολλῆς τῆς ὑπερηφανείας, καὶ οὐκ ἀφιᾶσιν ὑπὸ πολὺ τὸν πῶλον τὴν ἡλικίαν ἀδάμαστον προελθεῖν, ἀλλὰ δὲ χαλινόν, καὶ τἆλλα πάντα ὑπομένουσιν οὐκ προοιμίων, τοὺς δὲ αὐτὸς νέους ὑπὸ πολὺ προορῶσιν ἀχαλινώτους φερομένους, σωφρονισμοῦ ἐρήμους, πορνείαις καὶ κύβοις καὶ ταῖς ἐν τοῖς παρανόμοις θεάτροις διατριβαῖς καταχωμένους. δέον προτρέπεσθαι πορνείας γυναικὶ παραδοῦναι, γυναικὶ σώφρονι καὶ σοφωτάτῃ. αὕτη γὰρ καὶ τὴν ἀτοπωτάτης ἀπάξει διατριβῆς τὴν αἴδρα, καὶ μὴ πάλιν καλῶ πωλοδαμνήσει). οὐδὲ γὰρ ἑτέρωθεν αἱ πορνείαι καὶ αἱ μοιχεῖαι, ἀλλ' ἐκ τῆς ἀφέτους εἰς τοὺς νέους. μὴ γὰρ γυναῖκα ἔχῃ ζωντικὴν, καὶ οἰκίας ὑπιμελήσεται) καὶ δόξης καὶ ἀπολήψεως. Ματθ.κ.
ἀλλὰ νέος ἐστί, φησιν. οἶδα κἀγώ. εἰ γὰρ ὁ Ισαὰκ τεσσαράκοντα ἐτῶν ὢν τὸν νυμφίον ἠγάγετο, ἐν Γεν. κε.κ.
παρθενίᾳ τὴν ἡλικίαν πᾶσαν ἄγων, πολλῷ μᾶλλον τοὺς ἐν τῇ ὥρᾳ τῇ νέους τὴν φιλοσοφίαν ταύτην ἀσκεῖν ἔδει. ἀλλὰ τί πάσχω; οὐκ ἀνέχεσθε τῆς σωφροσύνης αὐτῆς ὑπομιμνῄσκω, ἀλλὰ βεβιασμένοι καταχωμένους, μολιβωμένους, ἀναγεῖς γενομένους, οὐκ εἰδότες ὅτι γάμου κέρδος, τὸ καθαρὸν διατηρῆσαι τὸ σῶμα. κἂν ὅτου μὴ ᾖ, οὐδὲν ὄφελος γάμου. ὑμεῖς δὲ ζωντανίου ποιεῖτε. ὅταν μυρίων ἐμπλησθῶσι κηλίδων, τότε αὐτοὺς ἐπὶ γάμον ἄγετε, εἰκῇ καὶ μάτην. διὰ γὰρ δυναμένη, φησὶ, ἵνα βδελυκτὸς γένηται, ἵνα ἐν τοῖς πολιτικοῖς λάμψῃ πράγμασι· τῆς δὲ ψυχῆς ὑμῶν οὐδεὶς λόγος, ἀλλὰ βεβιοῦτε αὐτὴν ἐρριμμένην. διὰ τοῦτο πάντα συγχύσεως γέμει καὶ ἀταξίας καὶ ταραχῆς, ὅτι πρέπον αὐτῷ, ὅπερ καὶ μὴ δυναγκαῖα νομίζεται, καὶ ὃ λυπεῖ πολλῆς τυγχάνει βουλῆς. οὐκ οἶδα, ὅτι οὐδὲν τοιοῦτον δεῖ τῇ παιδί, ὡς ὃ φυλάξαι πορνικῆς ἀκαθαρσίας καθαρόν; ψυχῆς γὰρ ἴσον οὐδέν. Τί ὠφελήσει δὲ ἄνθρωπος, φησιν, ἐὰν τὸν κόσμον ὅλον κερδήσῃ, τὴν δὲ ψυχὴν αὐτοῦ ζημιωθῇ; ἀλλὰ γὰρ πάντα ὁπλίσασθαι χρημάτων ἔρως ἐνέτεκε καὶ κατέβαλε, καὶ τὸν Θεοῦ φόβον πρὸ ὀφθαλμῶν ἀκριβῆ φόβον πρὸ ὀφθαλμῶν ἔσωσεν, ὥσπερ τις τύραννος ἀκρόπολιν, ὅταν τὰς τῶν ἀνθρώπων ψυχὰς καταβάλῃ. διὰ τοῦτο τῶν παίδων καὶ τῆς ἡμετέρας ἀμελοῦμεν σωτηρίας, ἓν μόνον σκοποῦντες, ὅπως εὐπορώτεροι πλοῦτον ἑτέρους ἀφῶμεν, κἀκεῖνοι πάλιν ἄλλους, καὶ μετ' ἐκείνους τοῖς μετ' αὐτοὺς, πανδαιμονία τις τῶν ἡμετέρων νομίμων κίνημά τε καὶ χρῆμα, ἀλλ' ὃ δεσπότας. ὀπτεύθην πολλὴ ἡ δουλοσύνη, ὀπτεύθην τῶν δούλων ἐλευθέρους ἀτιμοτέρους. τοῖς μὲν γὰρ δούλοις, εἰ καὶ μὴ δι' αὐτὸν, ἀλλὰ δι' ἡμᾶς αὐτοὺς ὑπομένομεν· ἐλευθέροις δὲ ταύτης ἀπολαύουσι τῆς προνοίας, ἀλλὰ καὶ τούτων ἡμῖν εἴσιν ὑπελέφεροι. καὶ τί λέγω τῶν δούλων; καὶ γὰρ βοσκημάτων ἐλευθέρους παῖδες ἀτιμότεροι, καὶ οἴκων καὶ ἵππων μᾶλλον ὑπομνούμεθα, ἢ παίδων. κἂν μὲν ἡμιόνου τις ἔχῃ, πολλὴν ἡ φροντίς, ὥστε ὀνηλάτῃ βύρσῃ ἀρίστου, καὶ μήτε ἀγνώμονα, μὴ κλέπτοντα, μὴ μέθυσον, μὴ τῆς τέχνης ἄπειρον· ὁ δὲ ψυχῆς παιδὸς ὀκτίσας δεῖ παιδαγωγὸν, ἁπλῶς καὶ ὡς ἔτυχε ἐπιλεξάμενος,

ἁμαρτάνθα. καίτοιγε τῆς τέχνης ταύτης οὐκ ἔστιν ἄλλη μείζων. τί γὰρ ἴσον τὸ ῥυθμίσαι ψυχὴν καὶ ἁγιάσαι καὶ ἁπλώσαι νέον ἀξάνοιδμ; ἢ γὰρ καὶ πάντος ζωγράφου καὶ πάντος ἀνδριαντοποιοῦ τ' ταύτην ἔχοντα τὴν ὑπεροχὴν ἀκριβέστερον ἀξακεῖσθαι χρή. ἀλλ' ἡμᾶς οὐδὲν τοῦτο ποιοῦμθα λόγον, ἀλλ' ἓν ὁραθμὸν μόνον, ὅπως παιδευθῇ τὴν γλῶτταν· καὶ ὅτοι ἀξαιρέματα πάλιν ἐστουδάκαμθν. οὐ γὰρ ἵνα δικάσωμεν λέγομεν, ἀλλ' ἵνα χρηματίζωμεν, μανθάνει δὲ λέγων· ὡς εἰ ἔξω δὲ χρείας τοῦτο πλουτεῖν, οὐδεὶς ἡμῶν ἐῶ οὐδὲ τοῦτο λέγειν. εἶδες πόσον τῶν χρημάτων ἡ τυραννίς; πῶς πάντα κατέχει, καὶ καθάπερ ἀνδράποδά τινα καὶ θρέμματα δήσασα ἕλκει ὅπουπερ ἂν θέλῃ; ἀλλὰ τί δ' κέρδος ἀπὸ τῶν τοσούτων ἐγκλημάτων ἡμῖν; ἡμεῖς μὲν γὰρ τοῖς λόγοις αὐτὴν βάλλομεν, ἐκεῖνοι δὲ τοῖς ἔργοις ἡμᾶς κόπτουσι· πλὴν ἀλλ' οὐδὲ ὅτω παυσόμθα τοῖς ἀπὸ τῆς γλώττης αὐτὴν βάλλοντες ῥήμασιν. ἀν μὲ γὰρ γένηται τι πλέον, ἐκερδάναμθν καὶ ἡμεῖς καὶ ὑμεῖς· ἂν δὲ τοῖς αὐτοῖς ὀπιμένητε, τόγε ἡμέτερον ἅπαν ἀπήρτισαι. ὁ δὲ Θεὸς καὶ ὑμᾶς ταύτης ἀπαλλάξειε τῆς νόσου, καὶ ἡμᾶς ἐφ' ὑμῖν καυχᾶσθαι ποιήσειεν· ὅτι αὐτῷ ἡ δόξα καὶ τὸ κράτος σὺν τῷ πατρὶ καὶ τῷ ἁγίῳ πνεύματι, εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Ομιλ. ξ. 15 ΕΑΝ ΑΜΑΡΤΗ ΕΙΣ ΣΕ Ο ΑΔΕΛΦΟΣ ΣΟΥ, ὕπαγε, ἔλεγξον αὐτὸν μεταξὺ σοῦ καὶ αὐτοῦ μόνου. ἐάν σου ἀκούσῃ, ἐκέρδανας τὸν ἀδελφόν σου.

